ISTITUTO DI STUDI BIZANTINI E NEOELLENICI
UNIVERSITÀ DI ROMA
CON IL CONCORSO DEL CONSIGLIO NAZIONALE DELLE RICERCHE

ANALECTA HYMNICA GRAECA

E CODICIBUS ERUTA ITALIAE INFERIORIS


IOSEPH SCHIRÒ
CONSILIO ET DUCTU EDITA

VII

CANONES MARTII

EUTYCHIUS TOMADAKIS
COLLEGIT ET INSTRUXIT





ROMA 1971

TIPOGRAFIA S. PIO X - VIA DEGLI ETRUSCHI, 7-9 - ROMA

MANU SCRIPTA E QUIBUS CARMINA SUMPTA SUNT

Db *Crypt.* Δ.α. VII, s. XII, membran., mm. 240 × 180, ff. 139, menaeum martii. — Cfr. A. ROCCHI, *Codices Cryptenses seu Abbatiae Cryptae Ferratae*, Tusculani 1883, pp. 301-303.

Ck *Crypt.* Δ.α. XVII, s. XI, membran., mm. 240 × 180, ff. 247, menaeum martii et aprilis. Cfr. A. ROCCHI, *op. cit.*, pp. 318-319.

Cu *Crypt.* Δ. α. XIX, s. XII, membran., mm. 270 × 190, ff. 137, menaeum novembris et decembris. Codex mutilus. — Cfr. A. ROCCHI, *op. cit.*, pp. 320-321.

De *Crypt.* Δ.α. XXII, s. XII, membran., mm. 240 × 190, ff. 90, menaeum martii. Codex initio et fine mutilus. — Cfr. A. ROCCHI, *op. cit.*, 322-323.

Dg *Crypt.* Δ.α. LXIII, s. XVIII, chartac., mm. 340 × 230, ff. 133, menaeum junii. — Cfr. A. ROCCHI, *op. cit.*, p. 348.

Mh *Mess. gr.* 121, s. XII, membran., mm. 230 × 180, ff. 217, menaeum martii, aprilis, mai et fragmentum paracleticae. — Cfr. A. MANCINI, *Codices graeci Monasterii Messanensis s. Salvatoris*, Messanae 1907, p. 188.

Ma *Mess. gr.* 139, s. XII, membran., mm. 255 × 195, ff. 249, dodecamenaeum. — Cfr. A. MANCINI, *op. cit.*, p. 200.

Mg *Mess. gr.* 163, s. XI-XII, membran., mm. 190 × 150, ff. 141, menaeum martii. — Cfr. A. MANCINI, *op. cit.*, p. 230.

Q *Paris. gr.* 13 (Colbert 121), cfr. J. SCHIRÒ – ADA DEBIASI GONZATO, *Analecta Hymnica Graeca* I, Roma 1966, p. XVIII.

Pk *Paris. gr.* 255 (Reg. 2472), s. XV, chartac., ff. 296, menaeum januarii, februarii, martii et narratio pro festo diei XXXI januarii. — Cfr. H. OMONT, *Inventaire sommaire des manuscrits grecs de la Bibliothèque Nationale* (*Première partie. Ancien fonds grec*). Paris 1886, p. 28.

Pq *Paris. gr.* 341, s. XIV-XV, membran. (pp. 1-212 exceptis pp. 35-38, 67-70, scriptae anno 1325) et chartac. (pp. 213-400), narratio quaedam (pp. 1-3), menaeum martii et aprilis. — Cfr. H. OMONT, *op. cit.*, p. 34.

Pr *Paris. gr.* 342 (Reg. 3006), s. XV, chartac., mm. 220 × 135, ff. 371, menaeum martii, vita s. Mariae Aegyptiacae (ff. 177-192), menaeum aprilis. — Cfr. H. OMONT, *op. cit.*, p. 35.

Ps *Paris. gr.* 366 (Mazarin. - Reg. 3007), anno 1458, chartac., ff. 353, menaeum martii et aprilis. — Cfr. H. OMONT, *op. cit.*, p. 38.

Pb *Paris. gr.* 1563 (Mazarin. - Reg. 2445), s. XII, membran., ff. 136, menaeum martii. — Cfr. H. OMONT, *op. cit.*, (Seconde partie, Paris 1888), p. 97.

Pf *Paris. gr.* 1570 (Mazarin. - Reg. 2498), anno 1127, membran., ff. 214, menaeum novembris. — Cfr. H. OMONT, *op. cit.*, p. 98.

Pt *Paris. gr.* 1573 (Reg. 2473), s. XV, chartac., ff. 305, menaeum martii et aprilis. — Cfr. H. OMONT, *op. cit.*, p. 98.

Pu *Paris. gr.* 1574 (Reg. 2474), anno 1404, chartac., mm. 295 × 215, ff. 235, menaeum martii, aprilis et mai. — Cfr., H. OMONT, supra cit.

Pv *Paris. gr.* 1575 (Mazarin. - Reg. 2475), s. XII, membran., mm. 285 × 180, ff. 221, examenaeum martii-augusti. — Cfr. H. OMONT, supra cit.

H *Paris. gr.* (fonds Coislin) 309, s. XIV, membran., mm. 243 × 183, ff. 331, menaeum martii, aprilis et mai. — Cfr. R. DEVREESSE, *Catalogue des manuscrits grecs, II. Le fonds Coislin*, Paris MCMXLV, p. 299.

Vf *Vat. gr.* 1508 (olim 1537) s. XIV-XV, chartac., mm. 282 × 213, ff. 274, menaeum octobris, novembris et martii. — Cfr. C. GIANNELLI, *Codices Vaticani Graeci* (*codices 1485-1683*), in Bybliotheca Vaticana MCML, pp. 45-48. - BMGV 601.

Vs *Vat. gr.* 1510 (olim 1540), anno 1431, chartac., mm. 279 × 205, ff. 288, menaeum martii, aprilis et mai. — Cf. C. GIANNELLI, *op. cit.*, pp. 49-52. - BMGV 601-602.

Vu *Vat. gr.* 1876, s. XII-XIII, membran., mm. 170 × 140, ff. 103 + 42, menaeum martii utrimque mutilum. — P. CANART, *Codices Vaticani Graeci* (cdd. 1745-1962), I, In Biblioteca Vaticana 1970, p. 435. - BMGV 653.

Vm *Vat. gr.* 2008 (Basil. 47), s. XI, membran., mm. 246 × 208, ff. 186, tetramenaeum ianuarii - aprilis, contacarium. — BMGV 670.

Vb *Vat. gr.* 2069 (Basil. 108). — Cfr. J. SCHIRÒ - ADA DEBIASI GONZATO, *op. cit.*, Roma 1966, p. XVIII. - BMGV 680.

Vt *Vat. gr.* 2541, s. XIV-XV, chartac., mm. 217 × 155, ff. 143, menaeum martii. Codex fine mutilus.

Bh *Barber. gr.* 450, s. XIII-XIV, membran., mm. 240 × 190, ff. 130, menaeum martii, aprilis et mai. Codex initio et fine mutilus. — Cfr. SEYMOUR DE RICCI, *Liste sommaire des manuscrits grecs de la Bibliotheca Barberina* in « Revue des Bibliothèques » 17 (1907), p. 34. - BMGV 152.

Bd *Barber. gr.* 460, s. XII, membran., mm. 235 × 180, ff. 140, menaeum ianuarii, februarii, martii et aprilis. Codex initio et fine mutilus. — Cfr. S. DE RICCI, *op. cit.*, p. 35. - BMGV 153.

Ln *Reg. gr.* 58, s. XI, membran., mm. 282 × 200, ff. 58, pentecostarium, menaeum martii. Codex fine mutilus. — Cfr. H. STEVENSON SENIOR, *Codices manuscripti graeci Reginae Svecorum et Pii pp. II*, Romae 1888, p. 51. - BMGV 306.

Lo *Reg. gr.* 61, s. XI, membran., mm. 227 × 165, ff. 130, menaeum martii, aprilis et mai. Codex initio et fine mutilus. — Cfr. H. STEVENSON, *op. cit.*, p. 52. - BMGV 306.

Ea *Vallic. gr.* E 54, s. XII-XIII, membran., mm. 246 × 200, ff. 235, menaeum decembris, martii et aprilis. Codex initio et fine mutilus. — Cfr. E. MARTINI, *Catalogo di manoscritti greci esistenti nelle biblioteche italiane*, t. II, Milano 1902, p. 118.

He *Patm.* 199, s. XIV, menaeum martii. — Cfr. J. SAKKELION, *Πατμιακὴ Βιβλιοθήκη* . . . Ἀθῆναι 1890, p. 113 (membrana phototypica usus sum).

SIGLA

add. = addidit, addiderunt
cd. = codex, codicis, codice
cdd. = codices, codicum, codicibus
ed. = edidit, editus, editum, edita, editio
heirm. = heirmus, heirmi, heirmoi, heirmos
inc. = incipit, incipiens
l.c. = locus citatus
om. = omittit, omittunt, omittutur, omittuntur, omissum, omissa
v. = versus, versum
vv. = versus, versuum, versibus
synax. = synaxarium
θεοτ., σταυροθεοτ. = θεοτοκίον, σταυροθεοτοκίον
κάθ., καθ. = κάθισμα, καθίσματος
κοντάκ., κοντακ. = κοντάκιον, κοντακίου
οἶκ., οἴκ. = οἶκος, οἴκου, οἶκοι, οἴκοις
τριαδ. = τριαδικὸν
AA.SS. = *Acta Sanctorum*. Antverpiae/Bruxellis/Tongerloae/Parisiis 1643-1940.
AGIORITIS = Νικοδήμου Ἁγιορείτου, *Συναξαριστὴς τῶν δώδεκα μηνῶν τοῦ ἐνιαυτοῦ*, I-II, Ἀθήνησι 1868.
AHG = *Analecta Hymnica Graeca e codicibus eruta Italiae inferioris*. JOSEPH SCHIRÒ consilio et ductu edita. I: Canones Septembris ADA DEBIASI GONZATO collegit et instruxit. Roma 1966.
Anal. Boll. = *Analecta Bollandiana*. Bruxellis.
Anth. = *Ἀνθολόγιον* .... II (Ian.-Apr.). [Romae, curante Ph. Vitali] 1738.

BBG = *Bollettino della Badia greca di Grottaferrata*. Grottaferrata
B.H.G.³ = *Bibliotheca Hagiographica Graeca*, IIIᵉ édition... par F. Halkin. Bruxelles 1957. (Subsidia Hagiographica 8a).
B.H.L. = *Bibliotheca Hagiographica Latina*, I-II, Bruxelles 1898-1901. (Subsidia Hagiographica 6).
BMGV = P. CANART-V. PERI, *Sussidi bibliografici per i manoscritti greci della Biblioteca Vaticana*. Studi e Testi, 261. Città del Vaticano 1[illegible].
BZ = *Byzantinische Zeitschrift*. Leipzig - München.
CP = CHRIST, W.-PARANIKAS, M., *Anthologia Graeca Carminum christianorum*. Lipsiae 1[illegible]71.
DMS = Κ. Δουκάκη, *Μέγας Συναξαριστὴς πάντων τῶν ἁγίων*, I-XII. (Ian.-Dec.). Ἐν Ἀθήναις 1889-1896.
DOUKAKIS = id. id. (in commentario).
EE = Σ. Εὐστρατιάδου, *Εἱρμολόγιον*. Chennevières-sur-Marne 1932. (Ἁγιορειτικὴ Βιβλιοθήκη 9).
EPh = *Ἐκκλησιαστικὸς Φάρος*. Ἐν Ἀλεξανδ[illegible].
ETh = Σ. Εὐστρατιάδου, *Θεοτοκάριον*, I. Chennevières-sur-Marne 1931. (Ἁγιορειτικὴ Βιβλιοθήκη 7-8).
EUSTRATIADIS, *Ἁγιολόγιον* = Σ. Εὐστρατιάδου, *Ἁγιολόγιον τῆς Ὀρθοδόξου Ἐκκλησίας*. Ἔκδοσις τῆς Ἀποστολ. Διακ. τῆς Ἐκκλ. τῆς Ἑλλάδος. [Ἀθῆναι, 1961].
EUSTRATIADIS, *Ταμεῖον* = Σ. Εὐστρατιάδου, *Ταμεῖον Ἐκκλησιαστικῆς ποιήσεως*. Ἐκκλησιαστικὸς Φάρος 47 (1948), 48-49 (1949-1950).
GIB = G. GIOVANELLI, *Gli inni sacri di S. Bartolomeo Juniore*. Badia Greca di Grottaferrata 1955. (Innografi Italo-greci 3).
HR = *Ὡρολόγιον τὸ μέγα*. Ἐν Ῥώμῃ 1876.
LAMPROS = S. LAMPROS, *Catalogue of the Greek manuscripts on mount Athos*. I-II. Cambridge 18[illegible], 1900.
MR = *Μηναῖα τοῦ ὅλου ἐνιαυτοῦ*, I-VI. Ἐν Ῥώμῃ 1888-1901.
MV = *Μηναῖα ... διορθωθέντα ὑπὸ Βαρθολομαίου Κουτλουμουσιανοῦ τοῦ Ἰμβρίου*, I-XII (Sept.-Aug.). Βενετία, Φοῖνιξ, 1895.

NS = *Νέα Σιών*. Ἐκκλησιαστικὸν περιοδικὸν Σύγγραμμα. Ἐν Ἱεροσολύμοις.

OCP = *Orientalia Christiana Periodica*. Roma.

PAPADOPOULOS – KERAMEUS = Ἀ. Παπαδοπούλου–Κεραμέως, *Ἱεροσολυμιτικὴ Βιβλιοθήκη*, I-V, Saint Pétersbourg 1891-1915.

PaR = *Παρακλητικὴ ἤτοι Ὀκτώηχος ἡ μεγάλη*. Ἐν Ῥώμῃ 1885.

PAS = J. B. PITRA, *Analecta Sacra spicilegio Solesmensi parata*, I-IV. Parisiis-Tusculi-Venetiis 1876-1884.

PG = MIGNE, *Patrologia Graeca*. Lutetiae Parisiorum 1857-1866.

PID = *Παρακλητικὸν σὺν Θεῷ ἁγίῳ τῆς ὑπεραγίας θεοτόκου. Ποίημα τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ Δαμασκηνοῦ* . . . [Romae, curante Ph. Vitali] 1738

Selecta = *Synaxarium*, cf.

Synaxarium = H. DELEHAYE, *Synaxarium Ecclesiae Constantinopolitanae* (Propylaeum ad Acta Sanctorum Novembris). Bruxellis 1902.

Synax. CP. = Id. id. (in commentario)

TR = *Τριῴδιον κατανυκτικόν* . . . Ἐν Ῥώμῃ 1879

ANALECTA HYMNICA

Τίς σου, Χριστέ,
τῆς εὐσπλαγχνίας τὸ πέλαγος
σαφῶς ἐκδιηγήσεται;
ὅτι σωτήριον
ἀπειργάσω λιμένα
τὴν πάλαι τῶν πταισμάτων
βυθὸν ὑπάρχουσαν.

Γῆ ἀγαθὴ
ὥσπερ ἡ σὴ ψυχή, ἔνδοξε,
τὸν ὑετὸν ἐδέξατο
τῆς παραινέσεως
Γερμανοῦ τοῦ ὁσίου
καὶ στάχυν εὐσεβείας
ἐκαρποφόρησεν.

Τὸν νοητὸν
ἄνθρακα ἐν τῇ καρδίᾳ σου
εἰσδεξαμένη, πάνσεμνε,
διὰ βαπτίσματος,
ὥσπερ ὕλην τὴν πλάνην
καὶ τῆς σαρκὸς τὰ πάθη
ὄντως ἐνέπρησας.

θεοτ. * Θεοπρεπὲς
σκήνωμα ὄντως σὺ πέφηνας
τῶν οὐρανῶν πλατύτερον
καὶ καθαρώτερον,
θεοτόκε παρθένε,
καὶ νῦν ἐπὶ σοὶ χαίρει
ὁ τῶν παρθένων χορός.

13 τῶν πταισμάτων] ἁμαρτίας Ma 18 τῆς παραινέσεως] διδασκαλίας τε Pb τῆς διδασκαλίας Ln Ma 21 ἐκαρποφόρησας Ck 22-28 trop. om. Vm Ln 23 σου] χριστὸν Pb Ma 29-35 θεοτ. MR III, 508 30 ὄντως] ἁγνή MR 31 τοῦ οὐρανοῦ Db

15 Luc. 8,8.

ᾠδὴ β΄. *Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι
ὁ ἐν θαλάσσῃ σώσας*

Κύριε, κύριε,
τίς διηγήσεται
τῆς ἀγαθότητός σου
καὶ τοῦ ἀμέτρου ἐλέους
ὄντως τὸ πέλαγος;
σαρκωθεὶς γὰρ ἐκ κόρης
παρθένου ἀψευδῶς
πόρνας προσδέχῃ τοῦ λοιποῦ
f. 6 ‖ σωφροσύνην ἀσκούσας,
καὶ σεμνοτέρας πολλῶν
παρθένων δεικνύεις, σωτήρ.

Πῦρ σε ἐγκάρδιον
τῆς ἀγαπήσεως
τοῦ Ἰησοῦ συμφλέξαν
εἰδωλικῆς ἀπιστίας
καὶ ματαιότητος
καὶ παθῶν ἀκαθάρτων
καὶ πλούτου τοῦ φθαρτοῦ,
μάρτυς θεόφρον, ἀληθῶς
ἀνωτέραν δεικνύει,
ἐκεῖνον μόνον ποθεῖν
θερμῶς ἐρεθίζον σε.

Τὴν νεκρωθεῖσάν σου
πάλαι τοῖς πταίσμασιν,
ὑπερβολῇ κακίας,
ψυχὴν ἐζώωσας ὄντως,
ὡς βαπτισθεῖσα Χριστοῦ
εἰς τὸν θάνατον, μάρτυς,
καὶ πόνοις τῆς σαρκὸς

Odem β΄ om. Vm Pb Ln Ma H heirm. β΄ EE II, n. 55, Joannis 40 ὄντως] ὅλως Db 50 ἀπιστείας Ck 55 δεικνύειν Ck 57 ἐρεθίζων Ck

37 Act. 8,33.

καταβαλοῦσα τὰς ὁρμάς·
ὅθεν χάριν ἐδέξω
νεκρούς, σεμνή, ἀνιστᾶν
καὶ ζῶσα ἐν σώματι.

Ὅπου τὸ πρότερον
προσεπλεόνασεν
ἡ ἁμαρτία, ἧπερ
ἡ τοῦ Θεοῦ περισσεύει
χάρις καὶ δύναμις·
σταλαγμοῖς γὰρ δακρύων,
αἱμάτων ταῖς ῥοαῖς
τὸν ἐνυπάρχοντα σαυτῇ
ἀποπλύνασα ῥύπον,
ναὸς Θεοῦ καθαρός,
Εὐδοκία, γέγονας.

θεοτ. Νύμφη πανάχραντος
καὶ παναμώμητος,
θεογεννῆτορ, ὤφθης
σεσαρκωμένον τὸν Λόγον
κυοφορήσασα,
ἑνωθέντα ἀφύρτως
μορφῇ τῇ καθ' ἡμᾶς,
ἵνα τὸν πάλαι τῇ φθορᾷ
πεπτωκότα φορέσας
ἑλκύσῃ πρὸς ἑαυτὸν
δι' ἄφατον ἔλεος.

ᾠδὴ γ'. *Στερέωσον ἡμᾶς*
ἐν σοί, κύριε,

Στερέωμα Χριστὸν
καὶ τεῖχος ἄρρηκτον
ἐν στέρνοις,

71 εἴπερ Ck Vm Pb Ln Ma H ἧπερ] ὄντως Db 75 ταῖς] τε Db
heirm. γ' EE 39, n. 53, Cosmae 93 εστέρνοι Ln

72 Rom. 5,20

ὁσία, σου κεκτημένη,
προσβολαῖς οὐκ ἐσαλεύθης ἐχθροῦ,
ἀλλὰ τοῦτον εἰς τέλος ἐξηφάνισας.

Ποθήσασα Χριστοῦ
τὴν ὡραιότητα
καὶ τούτου
τῷ ἔρωτι τετρωμένη
δι' ἀθλήσεως συνήφθης αὐτῷ,
Εὐδοκία θεόφρον, παναοίδιμε.

Βαπτίσματι Χριστοῦ
καὶ τῶν δακρύων σου
καὶ αὖθις
αἱμάτων τοῦ μαρτυρίου
καθαρθεῖσα, οἶκος γέγονας
τῆς Τριάδος καὶ τόπος ἁγιάσματος.

θεοτ. * Ἐξ Ἄννης ἡ χαρὰ
τοῦ γένους ἤνθησας
καὶ τίκτεις,
f. 6v παρθένε, τὸν || βασιλέα,
καὶ συγχαίρουσι τῷ τόκῳ σου
αἱ γυναῖκες λυθεῖσαι διὰ σοῦ τῆς ἀρᾶς.

Κάθισμα.
Ἦχος δ'. *Ταχὺ προκατάλαβε*

Χριστοῦ θείῳ ἔρωτι
ἀναφλεχθεῖσα τὸν νοῦν,
ἀνένδοτον ἔσχηκας
τὴν πρὸς αὐτόν σου στοργήν,
θερμῶς διανύουσα

95 ἐχθρῶν Ln 97-98 Ποθήσασα χριστὸν τὸν ὡραιότατον Ma 99 τούτω Ln
101 συνήφθης] συνῆλθες Pb 109-114 θεοτ. ETh, 22
heirm. καθ. MR II, 80 κάθ. Vm Ma ante canonem praebent; ipsum
κάθ. om. Pb Ln H 2 καταφλεχθεῖσα Ma 5 διανύσασα Db

πόνους τε καὶ ἱδρῶτας,
εὐσεβὴς τῇ ἀσκήσει,
ἄθλους τε καὶ ἀγῶνας
εὐκλεὴς τῇ ἀθλήσει·
διὸ καὶ ἀμφοτέρωθεν,
μάρτυς, εὐδοκίμησας.

Ἄλλο.

Ἦχος πλ. α΄. *Τὸν συνάναρχον Λόγον*

Ἀδιστάκτῳ τῇ πίστει
....

ᾠδὴ δ΄. *Εἰσακήκοα, κύριε,*
τὴν ἀκοήν

Ἀθεΐας τὸ πέλαγος
τῷ ποταμῷ •
τῶν θείων σου αἱμάτων,
Εὐδοκία ἔνδοξε, ἀπεξήρανας.

Ἡ τὸ πρὶν σαγηνεύσασα
τοῖς πορνικοῖς

7 εὐσεβεῖς Db Vm 9 εὐκλεεῖς Db Vm 11 εὐδοκίμησας] διέπρεψας Ma
Ἄλλο ⟨κάθ.⟩ ed. in MR I, 523; idem κάθ. in Vm ante canonem invenimus Pb post odem γ΄ refert: κάθισμα. ἦχος πλ. δ΄. *Τὴν σοφίαν τοῦ λόγου* Φωτισθεῖσα τῇ αἴγλῃ ... MR IV, 5 ⟨θεοτ.⟩ Ὡς παρθένον καὶ μόνην ἐν γυναιξίν... MR III, 304 σταυροθεοτ. (in margine) Τὸν ἀμνὸν καὶ ποιμένα καὶ λυτρωτὴν ... MR IV, 5 119 σαγηνεύουσα Db Vm In H post odem γ΄ invenimus: κάθισμα. ἦχος δ΄. *Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ* Τὸν εὐδοκήσαντα θεὸν ἐκ παρθένου / ἀποτεχθῆναι δι᾽ ἡμᾶς τοὺς ἀνθρώπους / ἐπιποθοῦσα, ἔνδοξε, ἐνήθλησας / πρότερον ἀσκήσασα / καὶ τὰ πάθη τεμοῦσα· / ὅθεν σε ἠξίωσεν / ἀγαθῶν αἰωνίων, / ᾧ παρεστῶσα ἀεὶ / ὑπὲρ τῶν πίστει τιμώντων σε πρέσβευε. — Δόξα. καὶ νῦν. θεοτ. ὅμοιον. Ὡς παρθένον καὶ μόνην ... MR III, 304 σταυροθεοτ. Ἡ παρθένος καὶ μήτηρ τοῦ λυτρωτοῦ ... MR IV, 53

heirm. δ΄ MR III, 15; in EE deest. Ma strophas odis δ΄ hoc ordine refert 2, 1, 3, 4 119 σαγηνεύουσα Db Vm

τοὺς ἄφρονας δικτύοις,
νῦν πρὸς βασιλείαν Θεοῦ ζωγρεῖ τοὺς πιστούς.

Τὸν ἀδίκως προσόντα σοι
πλοῦτον, σεμνή,
σκορπίσασα, δικαίως
ἀφθαρσίας ὄλβον ἐκληρονόμησας.

θεοτ. Φῶς ἐπέφανας, κύριε,
τοῖς ἐν νυκτὶ
καὶ σκότει τῶν πταισμάτων
ἐξ ἁγνῆς παρθένου κυοφορούμενος.

ᾠδὴ ε΄. *Ὁ τοῦ φωτὸς χορηγός*

Φῶς σε ἀνέσπερον
περιαυγάσαν ἀληθῶς, ἔνδοξε,
τῆς τῶν παθῶν ἐξῆρεν ἀχλύος
καὶ πρὸς τὴν ἀληθῆ
ὁδὸν προσορμίσαν,
ὁλόφωτον ἔδειξεν.

Τοῦ βασιλέως Θεοῦ
ὡς νυμφευθεῖσα τῷ υἱῷ, ἤγειρας
ἐν τῇ αὐτοῦ σεπτῇ ἐπικλήσει
τεθνήξαντα δεινῶς
τὸν τοῦ βασιλέως
υἱόν, πανασίδιμε.

Ἐν ἀνδρικῷ λογισμῷ
ἐπὶ τοῦ βήματος Χριστόν, ἔνδοξε,

123-126 cfr. AA.SS. Mart. I, (1668), 880 124 σεμνή] [illegible]τόν Pb Ln Ma 125 σκορπήσασα Vm 129 σκότω Pb Ln 130 κυοφορούμ[illegible] | ἐκληρονόμησας Pb cfr. v. 126

heirm. ε΄ EE 38, n. 51, Cosmae; Vm heirm. his trad[illegible]. Ὁ τοῦ φωτὸς χορηγὸς / καὶ τῶν αἰώνων ποιητής, κύριε,[1] / ἐν τῷ φωτὶ / τοῖς[2] [illegible] προστάγμασιν / ὡδήγησας[3] ἡμᾶς· / ἐκτός σου γὰρ ἄλλον / θεὸν οὐ γινώσκομεν. ([1] [illegible]ιος EE [2] σῶν προσταγμάτων EE [3] ὁδήγησον EE) 134 ἀληθῆ] ἀπαθῆ [illegible] Ln Ma

131 Act. 26,13

ὁμολογεῖς Θεὸν σαρκωθέντα
καὶ ξίφει τὴν κάραν
ἐναποτμηθεῖσα,
χορεύεις σὺν μάρτυσιν.

θεότ. * Ὥσπερ κρηπῖδα τὴν σὴν
ἐπιστασίαν οἱ πιστοὶ ἔχοντες
f. 7 || καὶ συμφοραῖς πικρῶν νοσημάτων
κυκλούμενοι, πρὸς σὲ
προθύμως, παρθένε,
προσφεύγομεν, δέσποινα.

ᾠδὴ ς'. *Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος*

Ὡς θερμός σου ὁ ζῆλος τῆς πίστεως,
μάρτυς Εὐδοκία· διὸ κατεπάτησας
τὴν τῶν ἀπίστων ἔνστασιν
καὶ τῆς νίκης ἐδρέψω τὰ ἔπαθλα.

Ἡ τὸ πρὶν δυσωδίας ἀνάπλεως
τῇ ὑπερβολῇ τῆς λαγνείας ὑπάρχουσα,
νῦν εὐωδίας πέπλησται
καὶ παρθένων χοροῖς συνευφραίνεται.

Τῶν δακρύων τὰ ῥεῖθρα συνάψασα
τοῖς τοῦ μαρτυρίου κρουνοῖς τῶν αἱμάτων σου,
ἓν ἐξ ἀμφοῖν ποτήριον
σωτηρίου, ὁσία, τετέλεκας.

θεοτ. * Ἡ τοῦ κόσμου χαρά, θεοτόκε ἁγνή,
«χαῖρε» σοι κραυγάζομεν σὺν τῷ ἀγγέλῳ πιστῶς·
τῆς σῆς χαρᾶς ἀξίωσον
καὶ τὴν λύπην ἡμῶν διασκέδασον.

149-154 θεοτ. ETh, 236 151 συμφορῶν Ck ἐν συμφοραῖς Db πικρῶν] πολλῶν Ma 153 παρθένε om. Ln

heirm. ς' EE 34, n. 46, Joannis Pb strophas odis ς' hoc ordine praebet 1, 3, 2, 4 156 διὸ] δι' οὗ Db Pb; διὸ deest in Ma H 159 ἀνάπλεος Vm Ln 162 καὶ παρθένον χοροὶ συνευφραίνονται H συνευφραίνεσθαι Ln 164 κρονοῖς Vm 165 ἀμφῶν Ln 167-170 θεοτ. ETh, 167 167 θεοτόκε ἁγνή] ἀειπάρθενε ETh 168 κραυγάζοντας Db Ln

Κοντάκιον.

Ἦχος γ'. *Ἡ παρθένος σήμερον*

Μαρτυρίου αἵμασιν
....

Ὁ οἶκος. *Τὴν Ἐδὲμ Βηθλεὲμ*

Τῶν ἁγίων τερπνὴ
σήμερον ἡ πανήγυρις,
τῶν ἀγγέλων λαμπρὰ
ἡ εὐφροσύνη γέγονεν.
Χορεύει ἡ Εὔα
ἐν τέκνοις σκιρτῶσα·
τὸ γὰρ ἐν λύπαις τίκτειν ἀνώρθωσαν
θήλειαι ἀθλήσασαι,
τῆς δὲ ἀρᾶς τὸ ἄχθος ἠμαύρωσαν
δι' ὑπακοῆς
γύναια σήμερον·
ἡ τῆς ἀπάτης ἐλύθη ἔχθρα
καὶ ἡ τῆς πρὶν παρακοῆς
νῦν κατεβλήθη ἐνοχὴ
τοῖς τῶν τέκνων ἱδρῶσιν·

Idem κοντάκ. ex tribus οἴκ. in cd. Patm. 212, f. 110 (s. [illegible] XI) constat. Idem opus Romani Melodi pro S. Anastasia (22 decembris)., [illegible] N. B. Tomadakis, Ῥωμανοῦ τοῦ Μελῳδοῦ Ὕμνοι II, ρθ'-ρι'.

heirm. οἴκ. MR II, 667 7 τὸ γὰρ ... τέξειν ἀνόρθ[illegible]ν Patm. 212 9 νυνὶ post ἄχθος Ck add. 14 ἀνοχὴ Patm. 212 vv. 12-1[illegible] οὗτοι πάντες τὰ τῶν θηλείων / ὅνπερ οὐ δέονται αὐτῶν / κατεξετάσει ὡς σ[illegible] Ck; hi vv. sumpti sunt e secunda stropha ipsius Romani: Ὁ ἀγὼν φ[illegible]ς / ἡ θέα δὲ κατάπληκτος/, πολλὴ ἡ συμβολὴ / τῆς συμπλοκῆς τοῦ σκάμμ[illegible], / ὁ πόλεμος μέγας, / τὰ βέλη γενναῖα, / στερρὰ τὰ τόξα, / πλήρη τὰ φάρετρα, / π[illegible] ὁ ἀντίπαλος, / εἰσὶ δὲ αἱ ἀντιστρατευόμεναι / φύσις ἀσθενής, / εὔληπτος, εὔτρεπτος / [illegible] ἴστε πάντες / τὰ τῶν θηλείων, / ὅπερ οὐ δέον / τὰ αὐτῶν κατεξετάζειν ὡς σ[illegible], / ἴδωμεν δὲ καὶ γνῶμεν / πῶς ἀθλούσας / ταύτας στέφει / ἡ θεία χάρις / Χρισ[illegible] ὁ βρύων ζωήν.

ἐδόξασεν τοὺς τεκόντας
ἡ θεία χάρις,
Εὐδοκία ἔνδοξε.

ᾠδὴ ζ'. *Εἰκόνος χρυσῆς*

Ὁ πάλαι θηρῶν
καὶ τοῖς βρόχοις τῶν κακῶν
ὅλην συνέχων σε,
ἐχθρὸς ὁ πλάνος, συμπατούμενος
τοῖς σοῖς ποσί, μέγα κέκραγεν·
« οἴμοι ἐκνενίκημαι », λέγων,
f. 7ᵛ || « Εὐδοκία πανεύφημε,
τῇ σῇ ἀτρέπτῳ πρὸς Θεὸν
προσοικειώσει, σεμνή ».

Ἀσκήσει πολλῇ
τὰ φρονήματα τῆς σῆς
σαρκὸς νεκρώσασα,
νεκροῖς παρέχεις τὴν ἀνάστασιν,
τῇ πρὸς Θεὸν παρρησίᾳ σου
καὶ τῇ πρὸς αὐτὸν ἀδιστάκτῳ,
Εὐδοκία, δεήσει σου·
Θεὸς γὰρ θέλημα ποιεῖ
τῶν φοβουμένων αὐτόν.

Τὰ πάθη Χριστοῦ
ὥσπερ κόσμον εὐπρεπῆ
ἐν τῷ τραχήλῳ τῆς σῆς
ψυχῆς φοροῦσα, τοῦτον ἔθελξας
τῆς ἀφθαρσίας τῷ ἔρωτι·
ὅθεν σε ἡρμόσατο νύμφην

heirm. ζ' EE 39, n. 53, Cosmae Db et alii cdd. (Pb Pu Pt, de quibus cfr. Commentarium) strophas odis ζ' hoc ordine tradunt 1,3,2,4 172 κακῶν] δεινῶν H 173 ὅλον ἐκδόσας H 175 ποσὶ om. H, μέγα κέκραγεν] καὶ ἀνέκραγεν Ln 178-179 εὐλογητὸς εἶ ὁ θεὸς / ὁ τῶν πατέρων ἡμῶν Ln 180-188 trop. om. Ln 185 τῇ] τῆς H 186 Εὐδοκία om. H 187 θεὸς γὰρ] καὶ γὰρ τὸ Pb Ma ποιεῖν H 192 ψυχὴν H 194 ὅθεν σὲ ἡρμώσω σε νύμφη H εἱρμώσατο Ck

παναμώμητον κράζουσαν·
« εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

θεοτ. * Ὁ πρὶν Γεδεὼν
προμηνύων σου, σεμνή,
τὸν θεῖον τόκον σαφῶς,
λεκάνην βλέπει πλήρη ὕδατος
τὴν τοῦ ἐρίου ἐκπίασιν·
ὅλη γὰρ ἐν σοὶ ἡ θεότης
κατεσκήνωσεν, ἄχραντε.
Εὐλογημένος ὁ καρπὸς
τῆς σῆς κοιλίας, ἁγνή.

ᾠδὴ η'. *Τὸν ἐν καμίνῳ τοῦ πυρὸς*

Ὡς ἐκδημήσασα τῷ νῷ
πρὸς τὸν ὄντως ἐραστήν, ῥᾳδίως φέρεις
τῆς σαρκὸς τὰς αἰκήσεις
καὶ τοῦ πυρὸς τὴν πικρὰν
ὀδύνην,
μάρτυς πανοσίδιμε,
ὑπερευλογοῦσα
Χριστὸν εἰς τοὺς αἰῶνας.

Τὰς τρικυμίας τῶν δεινῶν
διεκρούσω τοῦ σταυροῦ τῷ πηδαλίῳ
καὶ ψυχῆς τὴν ὁλκάδα

195 παναμώμως κραυγάζουσαν Pb Ma Ln παναμώμητε κράζουσα H 198-206 θεοτ. ETh, 168 199 σεμνή] σαφῶς Ma 200 σαφῶς] σεμνή Pb Ma 201 λεκάνην φέρεις πλήρης ὕδατος Ln λεκάνης πλήρης ὕδατος H βλέπει] φέρει Vm Pb ETh πλήρης Ck 202 τὴν τοῦ ἀρείου ἀπόθλιψιν H 203-206 ὅθεν σε ἡρμόσατο νύμφην / παναμώμως κραυγάζουσα / εὐλογητὸς εἶ ὁ θεός / ὁ τῶν: H heirm. η' EE 35, n. 47, Joannis 207 Ὡς ἐκδημήσασα σου τὸν νοῦν H 209 τῆς] τὰς H 212 παναμώμητε H 213 ὑπερευλογοῦμεν Ma ὅνπερ εὐλογοῦμεν H 214 v. om. Ck 215 δεινῶν] παθῶν Ln H 216 πηδαλίῳ] τὴν πανοπλίαν H

201 Jud. 6, 36-38.

εἰς βασιλείας Θεοῦ
λιμένα
διέσωσας, ἔνδοξε,
ὑπερευλογοῦσα
Χριστὸν εἰς τοὺς αἰῶνας.

Τὴν ἀμορφίαν τῶν παθῶν
ἀπεβάλου καὶ ψυχῆς περιεβάλου
τὴν ὡραίαν ἐσθῆτα
τῆς ἀπαθείας· διὸ
Χριστός σε
νύμφην προσηρμόσατο,
ἐν ἐπουρανίοις
σκηνώσας σε θαλάμοις.

θεοτ. * Ἐλευθεροῦται διὰ σοῦ
ἡ προμήτωρ, θεοτόκε, καταδίκης,
καὶ ἰδοὺ νῦν γυναῖκες
ὑπεραθλοῦσι Χριστοῦ
καὶ χαίρει
ἡ φύσις τοῦ θήλεος,
ὡς ἡ πρωτομάρτυς
βοᾷ παρθένος Θέκλα.

ᾠδὴ θ'. *Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον*

Ἡ τοῦ προσώπου σου θέα,
τῇ τοῦ πνεύματος αἴγλῃ,
ὡς ὁ ἥλιος ἐκλάμπουσα, σεμνή,
ξένον ἐδείκνυτο θέαμα
f. 8 || τοῖς ὁρῶσιν ἀπίστοις·

218 βασιλείαν H 221 ὑπερευλογοῦμεν H 222 v. om. Ck 228 προσειρμώσατο Ck καθηρμόσατο Pb Ma H προσηρμόσατο Db Vm Ln 230 σκηνώσασα H 231-238 θεοτ. ETh, 168 231 Ἠλευθεροῦται H 234 χριστὸν H
heirm. θ' EE 34, n. 46, Joannis 242 ξένω H 243 ἀπίστοις] ἀπαύστοις Ma

241 Matth. 17,4.

καὶ γὰρ ὡς ἀγαπήσασα Χριστὸν
ὑπ' αὐτοῦ ἐδοξάσθης
ἀξίως, πανσεβάσμιε.

Τὴν τῆς ψυχῆς σου λαμπάδα
καταρδεύσασα, μάρτυς,
ἐλαίῳ τῶν αἱμάτων σου φαιδρῶς,
χαίρουσα νῦν εἰσελήλυθας
εἰς τὸν θεῖον νυμφῶνα
Χριστοῦ σὺν ταῖς φρονίμοις παρθένοις,
μεθ' ὧν μνήσθητι πάντων
τῶν πίστει εὐφημούντων σε.

Ἐξ ἀκανθώδους ἀπάτης,
ὥσπερ ῥόδον, θεόφρον,
ἡδύπνοον ἐξήνθησας τερπνῶς
καὶ τῶν πιστῶν εὐωδίασας
τὰς ψυχάς, Εὐδοκία,
ἀπίστων ἀπεκρούσω δὲ στερρῶς
τὴν δυσώδη ἀπάτην·
διό σε μακαρίζομεν.

Τοὺς ἐκτελοῦντάς σου πόθῳ
τὴν ἐτήσιον μνήμην
ταῖς σαῖς πρὸς τὸν Θεὸν καὶ λυτρωτήν,
μάρτυς σεμνή, παρακλήσεσιν,
ἐκ παντοίων κινδύνων
περίσῳζε, κἀμοῦ τὸν τῆς ψυχῆς
μολυσμὸν τοῦ οἰκτρῶς σε
ὑμνήσαντος ἀπόπλυνον.

θεοτ. * Ὑπὲρ ἡμῶν δυσωποῦσα
τὸν υἱόν σου μὴ παύσῃ,

245 ἐν αὐτῷ Vm 248 ὑπανάψασα μάρτυς Db Pb καταρ[illegible]σα μάκαρ Vm 257 ἐξήνθισας Ck τερπνὸν Vm 262 μακαρίζωμεν Vm [illegible] ταῖς σαῖς πρὸς τὸν δεσπότην καὶ θεὸν Ma 271-278 θεοτ. ETh, 237

247 Matth. 25,1.

παρθένε, τὸν φιλάνθρωπον Θεόν·
σὲ γὰρ ἐλπίδα κεκτήμεθα
καὶ τῇ σῇ προστασίᾳ
λυτρούμεθα κινδύνων καὶ παθῶν
καὶ πταισμάτων καὶ νόσων
οἱ πίστει σε δοξάζοντες.

278 πιστοί σε μεγαλύνομεν Η πίστει] πιστοί ceteri cdd. quod metrus abnuit.

IN SANCTUM QUINTUM

Synaxarium, 499: Ἄθλησις τοῦ ἁγίου μάρτυρος Κ[illegible]ου τοῦ θαυματουργοῦ. Οὗτος γεγένηται μὲν καὶ πεπαίδευται τὴν εὐσέ[illegible]ν ἐν Φρυγίᾳ ..... Κατὰ δὲ τοὺς καιροὺς Αὐρηλιανοῦ τοῦ βασιλέως, ὁ [illegible]ων Ῥοῦφος παραινῶν αὐτῷ θῦσαι τοῖς εἰδώλοις ἐπεὶ ληφθεὶς δαίμοσι, [illegible]ξαμένου τοῦ ἁγίου, ἰάθη, ἀφῆκεν αὐτὸν δώροις τῆς εὐεργεσίας ἀμει[illegible]ενος. Αὖθις δὲ οἱ ἐν Κύμῃ ἕλληνες πικρῶς αὐτὸν βασανίζοντες ἐν τῷ να[illegible]ῶν εἰδώλων, ἐπεὶ σεισμοῦ γενομένου ὅ τε ναὸς καὶ τὰ ἐν αὐτῷ κατέπεσ[illegible]όανα ..... Μετὰ οὖν τὸν σεισμόν..... καταλαβὼν ὁ ἄρχων Κλέαρ[illegible], δεισιδαίμων ὢν καὶ περὶ τὴν θρησκείαν τῶν εἰδώλων ἐπτοημένος, κατεα[illegible]ναι τὰ σκέλη τοῦ ἁγίου προσέταξεν· ἃ παραυτίκα ἄρτια καὶ ὑγιᾶ τῇ τοῦ Χ[illegible]τοῦ δυνάμει κατέστησαν. Δεκάτου δὲ διαγενομένου χρόνου μετὰ τῶν [illegible]ελῶν αὐτοῦ συντριβήν, ἐν ᾧ περιήει πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν [illegible]μενος..... πρὸς κύριον ἐξεδήμησεν.

Mess. gr. 163 — Mg, ff. 6v-9v
Paris. gr. 1575 — Pv, ff. 2-3

Ὁ κανών, φέρων ἀκροστιχίδα τήνδε·
Κλέος μέγιστον εὗρες ἀθλήσας, μάκαρ. Ἰ[illegible]φ.

Ἦχος δ'.

ᾠδὴ α'. *Ἄισομαί σοι, κύριε ὁ Θεός μου,*
ὅτι διήγαγες λαὸν

Κροτήσωμεν σήμερον ἐν αἰνέσει,
τὸν ἀθλοφόρον τοῦ Χριστοῦ
γεραίροντες Κόϊντον,
νομίμως ἐναθλήσαντα
καὶ τὸν ἐχθρὸν νικήσαντα.

Λαμπρῶς ἐστηλίτευσας τῶν ἀθέων
f. 7 τὴν || ἀλογίαν παραστὰς

heirm. α' EE 103, n. 146, Germani   4 παρανομίμως Mg

ἀνόμῳ δικάζοντι,
Χριστοῦ δὲ ὡμολόγησας
τὴν σάρκωσιν, πανεύφημε.

Ἔτλης τὸ μαρτύριον εὐτολμίᾳ,
τὸ τῶν εἰδώλων ἀσθενές,
μάκαρ, θριαμβεύσας
καὶ θῦμα εὐωδέστατον
κυρίῳ προσενήνεξαι.

θεοτ. Ὁ κύριος, ἄχραντε, ἐν γαστρί σου
κατασκηνώσας ὑπὲρ νοῦν,
πάσης ἀνωτέραν
τῆς κτίσεώς σε ἔδειξεν,
μαρτύρων ἐγκαλλώπισμα.

ᾠδὴ γʹ. *Τόξον*
δυνατῶν ἠσθένησε

Στήσας
ἐπὶ πέτραν πίστεως,
Κοΐντε, τὰς βάσεις
στερρῶς τῆς καρδίας σου,
ἐπιπνεύσεσιν ἐναντίαις
ἀπερίτρεπτος διέμεινας.

Μέλη
ἀφειδῶς συντρίβεσθαι,
μάρτυς τοῦ κυρίου
σοφέ, παραδέδωκας,
τοὺς στεφάνους τῆς ἀφθαρσίας
ἀναδήσασθαι γλιχόμενος.

Ἔχων
τοῦ ἁγίου πνεύματος,

13 ἐθριάμβευσας Pv 19 σε ἔδειξεν] ἀνέδειξεν Mg
heirm. γʹ EE 102, n. 144, Cosmae

μάρτυς, ἐνοικοῦσαν
τὴν χάριν τὴν ἄφθονον,
ἐπιθέσει σεπτῶν χειρῶν σου
πᾶσαν νόσον ἐθεράπευσας.

θεοτ. Γνόντες
εὐσεβῶς δοξάζομεν
τὸ τῆς σῆς λοχείας,
ἁγνὴ παρθένε, μυστήριον·
τὸν Θεὸν γὰρ ἀνερμηνεύτως
σαρκωθέντα ἀπεκύησας.

ᾠδὴ δʹ. *Δι' ἀγάπησιν, οἰκτῖρμον, τῆς σῆς εἰκόνος*

f. 7v ‖ Ἰατρεύων τῶν σωμάτων τὰς ἀρρωστίας,
τῶν πονηρῶν πνευμάτων
ἐλατὴρ ἀνεδείχθης,
ζῶν καὶ μετὰ θάνατον,
ἀοίδιμε Κοΐντε.

Στρατιώτης ἀνεδείχθης τοῦ βασιλέως
τοῦ οὐρανίου, μάρτυς,
καὶ ἐχθρῶν μυριάδας,
ξίφει καρτερίας σου,
σαφῶς ἐθανάτωσας.

Τὸν δι' οἶκτον ἀνατείλαντα ἐκ παρθένου
ὁμολογῶν τυράννων
κατενώπιον, μάρτυς,
τούτου ἐξεικόνισας
τὰ θεῖα διδάγματα.

Ὀπτασίας ἠξιώθης ἐπουρανίου,
θείων ἀγγέλων, μάρτυς,
σὲ παραθαρρυνόντων,

heirm. δʹ EE 97, n. 138, Joannis
54 ἐθανάτωσας] ἐχρημάτισας Mg 57 κατένώπιον Mg 59 διδάγματα] παθήματα Pv

ἐπαγωνιζόμενον
ἐν μέσῳ τοῦ σκάμματος.

θεοτ. * Νυσταγμῷ με ῥαθυμίας κεκρατημένον,
πρὸς μετανοίας ὄρθρον
διανάστησον, κόρη,
πίστει σε δοξάζοντα
τὴν μόνην πανάμωμον.

ᾠδὴ ε'. *Σύ, κύριέ μου, φῶς*

Ἐνθέοις προσευχαῖς
τοὺς ναοὺς κατηδάφισας,
πανόλβιε, τῶν εἰδώλων,
καὶ ναὸς Θεοῦ ζῶντος
ἀθλήσας ἐχρημάτισας.

Ὑπέφερες στερρῶς
τῶν σκελῶν τὴν κατέαξιν,
οὐράνιον πρὸς πορείαν
f. 8 βηματίζων || εὐθέτως,
παμμάκαρ ἀξιάγαστε.

Ῥηγνύμενος πληγαῖς
καὶ ὀστᾶ συντριβόμενος,
ἀήττητος ἀπεφάνθης
τῇ δυνάμει τοῦ θείου,
παναοίδιμε, πνεύματος.

θεοτ. Ἐκύησας Θεόν,
χρηματίσαντα ἄνθρωπον
δι' ἄφατον εὐσπλαγχνίαν,
θεοτόκε· διό σε
ἀξίως μακαρίζομεν.

65-69 θεοτ. PID, πη'   66 ὄρθρον] ὄρμον Pv
heirm. ε' EE 94, n. 133, Joannis.   76 τῶν] τὴν Pv

ᾠδὴ ϛ'. *Ἐβόησε*
προτυπῶν τὴν ταφὴν τὴν τριήμερον

Συνέτριψας
ἀπωλείας τὰ ἄψυχα ξόανα,
συντριβεὶς σου,
ἀθλοφόρε, τὰ σκέλη, πανεύφημε,
καὶ ἐχθρῶν πορείας
ὑπεσκέλισας θείῳ ἐν πνεύματι.

Ἁγίως σου
διανύων τὸν βίον, ἐτέλεσας
καὶ πρὸ τέλους
καὶ θανὼν ἀναρίθμητα θαύματα,
εἰς κυρίου δόξαν
τοῦ μεγάλως σε, μάρτυς, δοξάσαντος.

Θαυμάτων σου
τὴν πληθὺν καθορῶντες οἱ ἄνθρωποι,
ἀθλοφόρε,
διὰ σοῦ, τὸν τελοῦντα παράδοξα,
εὐσεβῶς ἀνύμνουν
ὡς Θεόν, παναοίδιμε Κόϊντε.

θεοτ. Λαμπρύνεται
εὐσεβούντων ψυχή, μεγαλύνουσα
σὲ τὴν μόνην
μεγαλύνουσαν πάντας, πανάχραντε,
τῷ μεγίστῳ τόκῳ
τοῦ ἐκ σοῦ ὑπὲρ νοῦν ἀνατείλαντος.

heirm. ϛ' EE 125, n. 172   111 μεγαλύνασαν Pv   Pv post odem ϛ' tradit: κάθισμα. ἦχος δ'. *Ἐπεφάνης* Φωτοβόλοις λάμψεσι... BBG 2, 178 (idem κάθ. in Mg ante canonem invenimus). Τὸ συναξάριον. Ἄθλησις τοῦ ἁγίου μάρτυρος κοΐντου καὶ ἄθλησις τοῦ ἁγίου μάρτυρος θεοδότου ἐπισκόπου κυρινίας τῆς κύπρου· οὗτος ὁ ἅγιος ⟨Θεόδοτος⟩ ὑπῆρχεν ἐπὶ λικινίου ... vide Synax. Eccl. CP., 502

f. 8v ‖ ᾠδὴ ζʹ. *Ἀβραμιαῖοι ποτὲ*

Ἡγιασμένος ὤφθης
καὶ πρὸ θανῆς, παμμάκαρ,
καὶ μετὰ τέλος βρύεις θαύματα
καὶ παύεις νοσήματα
καὶ πονηρὰ διώκεις
πνεύματα, θεοφόρε.

Σὲ τὸν ἐν ὕψει, μάρτυς,
τῆς ἐκκλησίας μέγαν
ἀναφανέντα, πάντες, ἥλιον,
ταῖς σαῖς φωτιζόμενοι
θαυματουργίαις, πίστει
ἐνθέως εὐφημοῦμεν.

Ἀγωνοθέτης μέγας
τὸν εὐκλεῆ ἀγῶνα
τελέσαντά σε ἐστεφάνωσεν,
καὶ πᾶσι συνέταξεν
τοῖς τῶν μαρτύρων δήμοις,
κυρίου στρατιῶτα.

θεοτ. Σέ, παναγία κόρη,
προεικονίζει βάτος
μὴ φλεγομένη ἐν τῷ καίεσθαι·
τὸ πῦρ γὰρ ἐβάστασας
μὴ φλογισθεῖσα ὅλως·
διό σε ἀνυμνοῦμεν.

ᾠδὴ ηʹ. *Τὸν ἐν τῷ σταυρῷ*

Μάρτυς γεγονὼς
τῶν παθημάτων

Mg heirm. ζʹ *Ἀβραμιαῖοι ποτὲ* ..., = CP 178, Cosmae; Pv, vero, diversum heirm. refert, inc. *Ὁ διασώσας ἐν πυρὶ* ... (= EE 101, n. 142, Cosmae) cuius metro strophae odis minime aptantur 115 προθανὴς Mg προθανεὶς Pv 128 ἐστεφάνωσαι Pv

heirm. ηʹ EE 95, n. 134, Germani (Τὸν ἐν σταυρῷ ... EE) in superiori margine f. 8v ceteri vv. heirmi leguntur σαρκὶ προσηλωθέντα ... εἰς τοὺς αἰῶνας = EE

τοῦ σταυρωθέντος δι' ἡμᾶς,
παμμάκαρ, ἀναμέλπεις·
« παῖδες, ὑπερυψοῦτε Χριστὸν
τὸν Θεὸν ἡμῶν εἰς τοὺς αἰῶνας ».

Ἅγιον Θεὸν
ἀνακηρύξας
καὶ ἐναθλήσας δι' αὐτόν,
ἁγίοις ἠριθμήθης,
τὸν ἁγιασμὸν πᾶσιν ἡμῖν
τοῖς τιμῶσί σε πηγάζων, μάρτυς.

Κόσμος ἀθλητῶν
γεγενημένος,
f. 9 πρὸς ὑπερ‖κόσμιον ζωὴν
γηθόμενος μετέβης·
ὅθεν οἱ ἐν κόσμῳ σε ἀεὶ
μακαρίζομεν, γενναῖε μάρτυς.

τριαδ. Ἄναρχον ἀρχήν,
Θεὸν πατέρα,
υἱὸν συνάναρχον πατρὶ
καὶ πνεύματι ὑμνοῦμεν,
ἄκτιστον, τρισήλιον αὐγήν,
ὁμοούσιον εἰς τοὺς αἰῶνας.

θεοτ. Ῥῦσαί με πυρὸς
τοῦ αἰωνίου
καὶ τῶν παθῶν τῶν ἀφειδῶς
κυκλούντων τὴν ψυχήν μου,
ἡ τῆς ἀπαθείας τὴν ζωὴν
σωματώσασα, παρθενομῆτορ,

ᾠδὴ θʹ. *Ὁ τόκος σου ἄφθορος ἐδείχθη*

Ἰδεῖν ἠξιώθης, τὸν ἀγῶνα
τὸν θεῖον τελέσας, ἀθλοφόρε,
τὴν ἀνέκφραστον δόξαν

141 ἀναμέλπων Pv 166 ζωὴν] πηγὴν Pv
heirm. θʹ EE 102, n. 144, Cosmae

τοῦ Θεοῦ καὶ τὰς σκηνώσεις τὰς οὐρανίους,
γέρα τῶν πόνων
ἐπαξίως κομισάμενος.

Ὡραίως τὰς τρίβους βηματίζων,
Κόϊντε, τὰς θείας, κατεάγης
ὠμοτάτως τὰ σκέλη
καὶ καλῶς τὸν σὸν ἀγῶνα διατελέσας,
βρύεις νοσοῦσιν
ἀενάως τὰ ἰάματα.

Στρατὸς ἐπεκρότησεν ἀγγέλων,
τοὺς σοὺς θεασάμενος ἀγῶνας,
τῶν ἀνθρώπων δὲ πᾶσαι
αἱ φυλαὶ τὴν σὴν πανήγυριν ἐκτελοῦσι,
μεγαλοφρόνως
f. 9ᵛ ἀθλο‖φόρε, εὐφημοῦσαί σε.

Ἡ μνήμη σου πᾶσιν ἐπιλάμψει
τοῦ πνεύματος, μάρτυς ἀθλοφόρε,
ὥσπερ ἥλιος φαίνει,
ἣν πιστῶς τοὺς ἐκτελοῦντας φώτισον, μάρτυς,
σκότους πταισμάτων
ταῖς πρεσβείαις σου λυτρούμενος.

θεοτ. Φιλάγαθε μόνη θεομῆτορ,
τὴν κεκακωμένην μου καρδίαν,
ἐπηρείαις τοῦ πλάνου,
τὸν Χριστὸν τοῦ ἀγαθῦναι ἀεὶ δυσώπει,
ὅπως ἐν πίστει
καταχρέως μακαρίζω σε.

---

177 τῶν σῶν ἀγώνων Mg   179 ἀεννάως Mg Pv   184 μεγαλοφώνως Pv
185 εὐφημοῦσι τε Pv   186 ἐπιλάμπει Mg   189 τοὺς om. Pv

IN SANCTUM ATHENODORUM

Coislin. gr. 309 = H, ff. 5-7

Ὁ κανών.

Ἦχος δ'.

ᾠδὴ α'. *Θαλάσσης τὸ ἐρυθραῖον ⟨πέλαγος⟩*

Τὸν νοῦν μου ταῖς σαῖς πρεσβείαις φώτισον
f. 5ᵛ θεομακάριστε,
‖ ἀνευφημεῖν ὁρμήσαντα τὴν σὴν
ἱερὰν καὶ σεβάσμιον
μνήμην τελεῖν τε ᾄσμασιν,
ἱερομύστα Ἀθηνόδωρε.

Πλουσίαις μαρμαρυγαῖς λαμπόμενος
τοῦ θείου πνεύματος
τὴν τῶν παθῶν ὁμίχλην ἀνδρικῶς
ἀπεκρούσω, θεόσοφε,
καὶ τὴν ψυχὴν ἐφαίδρυνας
ἀρετῶν θείαις ἀναβάσεσιν.

Εἰς οὐρανοὺς ⟨— — — — — — —⟩
μάρτυς πατὴρ ἡμῶν,

---

tit. Μηνὶ τῷ αὐτῷ β' τοῦ ἁγίου πατρὸς ἡμῶν ἀθηνοδώρου συναθλ[illegible] τοῦ μεγάλου ἀθανασίου   Ὁ κανών et in dextra margine Θεοφάνους
heirm. α' ΕΕ 94, n. 133, Joannis   3 ὁρμήσαντι   5 τελοῦντες
13 Εἰς οὐρανοὺς [ἀνέδραμες]. septem syllabae desiderantur

καὶ θεϊκαῖς ἀκτῖσιν αὐγασθεὶς
φωτοφόρος ἀνέδραμες,
θεόφρον Ἀθηνόδωρε,
ταῖς πρὸς Θεὸν συντόνοις νεύσεσιν.

θεοτ. Ἀσπόρως ἐν σῇ γαστρὶ συνέλαβες
Λόγον τὸν ἄναρχον
τὸν ἐκ πατρὸς ἀμήτορα τὸ πρὶν
γεννηθέντα, πανάμωμε,
καὶ δι' ἡμᾶς ἀπάτορα
ἐκ σοῦ, παρθένε, σωματούμενον.

ᾠδὴ γ'. *Εὐφραίνεται ἐπὶ σοὶ*

Ἐφαύλισας ἀνδρικῶς
τὰ τοῦ Ἀρείου δυσσεβῆ δόγματα
καὶ τὴν αὐτοῦ παράνοιαν
πίστει τῆς Τριάδος φραξάμενος.

Τὸ ποίμνιον ποδηγῶν
πρὸς εὐσεβείας γλυκασμόν, ὅσιε,
τοὺς δυσμενεῖς ἀπήλασας
ῥάβδῳ τῶν ἐνθέων δογμάτων σου.

Ἐξέλαμψας ἀληθῶς
ἱερωσύνῃ κοσμηθείς, ἔνδοξε,
καὶ τοὺς βαρεῖς ἐδίωξας
λύκους τῇ σφενδόνῃ τῶν λόγων σου.

θεοτ. Ἡ φῶς τεκοῦσα, σεμνή,
τὴν κακωθεῖσάν μου ψυχὴν ἴασαι
τῇ εὐμενεῖ πρεσβείᾳ σου
καὶ πρὸς θείας τρίβους εὐόδωσον.

---

heirm. γ' ΕΕ 94, n. 133, Joannis 34 ἱερωσύνης.

Κάθισμα.

Ἦχος δ'. *Ἐπεφάνης σήμερον*

Ἱεράρχης μέγιστος
τῆς ἐκκλησίας,
ἀσκητὴς πανάριστος
σὺ ἀνεδείχθης ἀληθῶς
καὶ τῶν μαρτύρων ἰσότιμος,
τὴν τοῦ Ἀρείου διώξας κακόνοιαν.

ᾠδὴ δ'. *Ἐπαρθέντα σε ⟨ἰδοῦσα ἡ ἐκκλησία*

Λαμπόμενος φωτί σου τοῦ θείου Λόγου
τοῖς ὀφθαλμοῖς οὐκ ἔδωκας
ὕπνον, ἱεράρχα,
ἀντικαθιστάμενον
τυράννων ὠμότητι
τῶν αἱρετιζόντων, ἀοίδιμε.

Ἀθανασίου συνόμιλος ἀνεδείχθης,
συλλειτουργὸς καὶ σύμμαχος,
ὑπὲρ εὐσεβείας,
πάτερ, διωκόμενος,
κραυγάζων τῷ κτίστῃ σου·
« δόξα τῇ δυνάμει σου, κύριε ».

f. 6 ‖ Τῆς Τριάδος σὺ τῇ αἴγλῃ πεπυρσευμένος
τὰ τῶν βλασφήμων πρόσωπα
ἔπλησας αἰσχύνης,
μέλπων, ἱερώτατε,
ἀπαύστως τῷ κτίστῃ σου·
« δόξα τῇ δυνάμει σου, κύριε ».

heirm. καθ. MR III, 150
heirm. δ' ΕΕ 94, n. 133, Joannis 41 τῷ θείῳ λόγῳ 44 ἀντικαθιστάμενος.

θεοτ. Ὡς παράδεισον ὡραῖον τὴν σὴν γαστέρα,
ὡς εὐπρεπὲς ἁγίασμα,
ὡς θεῖον νυμφῶνα
εὑρὼν κατεσκήνωσεν
πατρὸς ὁ συνάναρχος
Λόγος, θεοτόκε πανύμνητε.

ᾠδὴ ε'. *Σύ, κύριέ μου, φῶς*

Σὺ ἄλλος Μωυσῆς
ἀνεδείχθης, θεόσοφε,
ἐξάγων τοὺς δουλωθέντας
ἐξ αἱρέσεως σκότους
πρὸς φῶς τῆς ἐπιγνώσεως.

Σὺ οἷάπερ φωστὴρ
καταλάμπων φαιδρότατος
ἀνέτειλας, τὴν ζοφώδη
ἀπελαύνων ἀπάτην
τῇ πίστει, ἱερώτατε.

τριαδ. Ὁ λόγος σου, σοφέ,
κακοδόξων τὸ σύστημα
διέλυσε, καταγγέλλων
τῆς Τριάδος τὴν δόξαν,
πατρός, υἱοῦ καὶ πνεύματος.

θεοτ. Ὁ Λόγος τοῦ Θεοῦ
ἐνοικήσας ἐν μήτρᾳ σου
διέλυσε, θεομῆτορ,
τὴν ἀρὰν τὴν τῆς Εὔας
ὡς μόνος παντοδύναμος.

heirm. ε' EE 94, n. 133, Joannis 72 ἀνέστειλας

ᾠδὴ ϛ'. *Θύσω σοι* / *μετὰ ⟨φωνῆς αἰνέσεως, κύριε⟩*

Τοῦ Παύλου
μιμητὴς ἐχρημάτισας, ἔνδοξε,
διατελῶν ἐν κινδύνοις,
συμφοραῖς καὶ πόνοις ἀνυποστάτοις
καὶ κηρύσσων
τῷ πατρὶ τὸν υἱὸν ὁμοούσιον.

Ὑπῆρξας
θλιβομένων ταχεῖα παράκλησις,
ἀδικουμένων προστάτης,
καταπονουμένων βοήθεια,
τῶν χηρῶν δὲ
καὶ ὀρφανῶν πατὴρ ὁ θερμότατος.

Ὅλην μου
τὴν ψυχὴν ἁμαρτίαις ἐζόφωσα,
ἀλλὰ πρὸς σὲ καταφεύγω
τὸν θερμὸν προστάτην, ἱεροκῆρυξ·
φωτοφόρον
ταῖς πρεσβείαις σου ταύτην ἀνάδειξον.

θεοτ. Ἀγκάλαις
τὸν τὰ πάντα χειρὶ περιφέροντα,
παρθενομῆτορ, βαστάζεις
καὶ θηλάζεις τοῦτον ὡς νήπιον,
ὃν φρίττουσι
τῶν ἀγγέλων αἱ τάξεις θεότητι.

heirm. ϛ' EE 94, n. 133, Joannis. Post θεοτ. odis ϛ' legitur: τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἁγίου μάρτυρος κοΐντου τοῦ θαυματουργοῦ (sequitur synaxarium).
τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων μαρτύρων νέστορος καὶ τριβιμίου (synax.).
τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου ἱερομάρτυρος θεοδότου ἐπισκόπου γενομένου κυρινίας τῆς κύπρου (synax.).
τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου ἀποστόλου παρμενᾶ ἑνὸς τῶν ἑπτὰ διακόνων (synax.).
τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου μάρτυρος τρῳαδίου καὶ τῆς συνοδίας αὐτοῦ.
τῇ αὐτῇ ἡμέρᾳ ἡ ἁγία παρθένος εὐθαλία ξίφει τελειοῦται.
τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι μάρτυρες ἀνδρόνικος καὶ ἀθανασία ἐν εἰρήνῃ τελειοῦνται.

ᾠδὴ ζ΄. *Ἐν τῇ καμίνῳ*

Οὐκ ἐν καμίνῳ,
ὥσπερ οἱ παῖδες πυριφλέκτῳ ποτέ,
πάτερ,
f. 6v || ἀλλ᾿ ἀρχόντων μέσον θεοστυγῶν
συστρεφόμενος ἀνέμελπες·
«εὐλογημένος εἶ
ἐν τῷ ναῷ τῆς δόξης σου, κύριε».

Οἷα λειμῶνα
τὰς θεοπνεύστους διαθέων γραφάς,
πάτερ,
εὐσεβείας ἤθροισας γλυκασμόν,
φιλεργὸς ὥσπερ ἡ μέλισσα,
τῶν προστρεχόντων σοι
καταγλυκαίνων τὰ αἰσθητήρια.

Ὄργανον ὤφθης
θεϊκαῖς ἐπιπνοίαις κρουόμενον,
πᾶσαν ἀπελαῦνον πλάνην θεοστυγῆ,
καταθέλγον δὲ τοὺς μέλποντας·
«εὐλογημένος εἶ
ἐν τῷ ναῷ τῆς δόξης σου, κύριε».

θεοτ. Σὲ προσκαλοῦμαι
εἰς τὴν ἐμὴν βοήθειαν, πάναγνε·
σὲ γὰρ
ἀληθῶς λιμένα καὶ προσφυγὴν
καὶ ὀχύρωμα καὶ καύχημα,
σὲ καὶ ἀντίληψιν
τῆς ψυχῆς μου, παρθένε, προβάλλομαι.

heirm. ζ΄ EE 94, n. 133, Joannis   128 v. om. cd.

ᾠδὴ η΄. *Χεῖρας ἐκπετάσας* ⟨*Δανιήλ*⟩

Ἀνθεῖ σε ἡ Αἴγυπτος, σοφέ,
ὡς κρίνον εὔοσμον
καὶ καθαρώτατον,
καταλαμπρῦνον δόγμασιν
εὐωδίας καὶ φαιδρότητος
τὴν ἐκκλησίαν τοῦ Θεοῦ·
⟨διὸ⟩ συμφώνως ψάλλομεν·
«εὐλογεῖτε
πάντα τὰ ἔργα κυρίου τὸν κύριον».

Ὡραῖοι οἱ πόδες ἀληθῶς
οἱ σοί, πανόλβιε,
ὁδὸν στελλόμενος
μακαριότητος, ἄγουσαν
εἰς βασιλείαν τὴν οὐράνιον,
ἣν διανύσας ἐν σκηναῖς
ἐπανεπαύσω βοῶν·
«εὐλογεῖτε
πάντα τὰ ἔργα κυρίου τὸν κύριον».

θεοτ. Ἐξέλιπεν ἄρχων ἐκ φυλῆς
Ἰούδα, πάναγνε·
Χριστὸς ἐπέφανεν
ἐκ σοῦ σαρκούμενος, ὅλον με
προσλαβόμενος τὸν ἄνθρωπον,
ἡ προσδοκία τῶν ἐθνῶν,
ἡ σωτηρία βροτῶν,
τῆς κατάρας
ὁ ἀναιρέτης, Ἀδὰμ ἡ ἀνόρθωσις.

ᾠδὴ θ΄. *Λίθος ἀχειρότμητος* ⟨*ὄρους*⟩

Ἤρθης εἰς οὐράνιον λῆξιν,
διαφυγὼν τὰς τρικυμίας
τῶν δυσσεβεστάτων ἀρχόντων

heirm. η΄ EE 94, n. 133, Joannis   143 v. om. cd.   144, 153 post τὰ cetera om. cd.
heirm. θ΄ EE 94, n. 133, Joannis

καὶ βασιλέων τὴν ἀγριότητα
καὶ τῷ Χριστῷ παρέστηκας
μετ' εὐφροσύνης ἀγαλλόμενος.

Νῦν περιχαρῶς συγχορεύεις
σὺν ἀσωμάτων στρατηγίαις
τῶν ἐπουρανίων, θεόφρον,
καὶ κατοπτεύεις Θεοῦ τὸ πρόσωπον,
εἰλικρινῶς λαμπόμενος
τῆς θεαρχίας ταῖς ἐλλάμψεσι.

Τῆς φωτοφανείας, τρισμάκαρ,
τῆς θεϊκῆς καταπολαύων
ἔνθα τῶν μαρτύρων οἱ δῆμοι
καὶ ἱερέων ὁ θεῖος σύλλογος,
τοῦ σοὶ τὸν ὕμνον πλέξαντος
f. 7 μὴ ‖ ἐπιλάθῃ, παμμακάριστε.

θεοτ. Ἰδοὺ τὸ κατάσκιον ὄρος,
ἰδοὺ πύλη, ἣν ἑώρα
Ἰεζεκιὴλ κεκλεισμένην,
ἰδοὺ ἡ στάμνος καὶ κιβωτὸς ἡ χρυσῆ,
ἰδοὺ ἡ θεία τράπεζα,
ἣν ἀνυμνοῦντες μεγαλύνομεν.

176 καταπολάβω 179 τοῦ σὺ τὸν ὕμνον πλέξαντες

3 MART. *[illegible]ANON IV*

IN SS. EUTROPIUM, CLEONICUM ET BASILIS[illegible]M

Synaxarium, 503: Ἄθλησις τῶν ἁγίων μαρτύρων Εὐτρ[illegible]ίου, Κλεονίκου καὶ Βασιλίσκου. Οὗτοι ὑπῆρχον κατὰ τοὺς χρόνους [illegible]αξιμιανοῦ, συστρατιῶται καὶ συγγενεῖς τοῦ ἁγίου μάρτυρος Θεοδώρου, [illegible] τῆς Καππαδοκῶν ὄντες χώρας. Παρίστανται οὖν Ἀσκληπιοδότῳ τῷ [illegible]γεμόνι καὶ τύπτονται ἀφειδῶς. Ὁ δὲ ἅγιος Εὐτρόπιος καὶ κατὰ τοῦ στ[illegible]ατος λαμβάνει πληγάς, ὅτι εἰς τὸν ἡγεμόνα ἐξύβρισεν· ἔνθα οἱ μὲν τύ[illegible]οντες ἐξελύθησαν διὰ τὸ σύντονον τῆς βασάνου. Οἱ δὲ ἅγιοι μάρτυρες ἐπι[illegible]έντος αὐτοῖς τοῦ Κυρίου καὶ τοῦ ἐνδόξου μάρτυρος Θεοδώρου, γεγόνασιν [illegible]ς· . . . .
Μεταβαλλομένου οὖν τοῦ ἡγεμόνος καὶ κολακείαις πειρῶν[illegible] τὸν ἅγιον Κλεόνικον μεταθέσθαι ἀπὸ τῆς Χριστοῦ πίστεως καὶ δῶρα ὑπ[illegible]νουμένου τὰ δὲ καὶ διδόντος, οὐδέν τι μᾶλλον ὁ ἅγιος μαλακισθείς, ἀλλ[illegible] παροξυνθείς, κατεγέλασε μὲν τῆς ἀνοίας τοῦ ἡγεμόνος . . . . . Ὅθεν θ[illegible]ς αὐτοῖς ἐπιτελουμένης, διὰ προσευχῆς τὸ ξόανον κατέβαλον τῆς Ἀρτέ[illegible]ος. Ἐκκαεῖσαν οὖν πίσσαν καὶ ἄσφαλτον ἐν τρισὶ λέβησι κατέχεον [illegible] αὐτούς· καὶ αὐτοὶ μὲν σῷοι διεφυλάχθησαν.
Εἶτα σταυροῦνται ὁ Εὐτρόπιος καὶ ὁ Κλεόνικος· ὁ δὲ ἅγιος [illegible]σιλίσκος ἐν τῇ φρουρᾷ τεθεὶς μετὰ χρόνον ἐν αὐτῇ τελειοῦται Μαΐου [illegible].

Crypt. Δ.α. XVII	=	Ck,	ff. 10v-12v
Reg. gr. 58	=	Ln,	ff. 44-45
Crypt. Δ.α. VII	=	Db,	ff. 9-12v
Vat. gr. 2008	=	Vm,	ff. 85v-86v

Ὁ κανών.

Ἦχος γ'.

ᾠδὴ α'. *Ἄισωμεν τῷ κυρίῳ*
τῷ ποιήσαντι
θαυμαστὰ τέρατα

Ἄισωμεν τῷ κυρίῳ
τῷ δοξάσαντι

tit. Ὁ κανών et in margine Γερμανοῦ
heirm. α' EE 78 n. 111, Germani Db heirm. integrum praeb[illegible] *Ἄισωμεν τῷ κυρίῳ / τῷ ποιήσαντι / θαυμαστὰ τέρατα ἐν ἐρυθρᾷ θαλάσσῃ· / πόντῳ γ[illegible]άλυψε τοὺς ὑπεναντίους / καὶ ἔσωσε τὸν Ἰσραήλ· / δῶμεν δόξαν· / ἐνδόξως γὰρ δεδόξα[illegible]*. (δῶ*μεν . . . δεδόξασται*] *αὐτῷ μόνῳ ἄσωμεν / ὅτι δεδόξασται EE*

τὴν φωτοφόρον σήμερον
τῶν ἀθλοφόρων μνήμην
καὶ ταύτην φαιδρύναντι
εἰς αἰῶνα αἰῶνος,
τοῖς θαύμασιν ἐκλάμπουσαν
καὶ τῷ κάλλει τῶν ἄθλων
τὰς ψυχὰς καταυγάζουσαν.

Οἱ ἀπλανεῖς ἀστέρες
τοῦ νοητοῦ ἡλίου,
οἱ θεοφόροι μάρτυρες,
τὴν Χριστοῦ ἐκκλησίαν
ὡς ἄλλο στερέωμα
μυστικῶς διδαχοῦσιν·
ἐν ταύτῃ γὰρ πεπήγασιν
καὶ στηριγμὸν θαυμάτων
νοητῶς ἀπαυγάζουσιν.

Ἐξαφθέντες πόθῳ
τῆς ὡραιότητος
τοῦ Χριστοῦ οἱ μάρτυρες
οἱ τρεῖς ἐν τῷ σταδίῳ,
τὸν ἐχθρὸν κατήργησαν,
τῇ πίστει τῆς Τριάδος,
στερρῶς ἀγωνισάμενοι,
Κλεόνικος, Εὐτρόπιος,
Βασιλίσκος ὁ ἔνδοξος.

θεοτ. * Ὑμνοῦμέν σε, παρθένε
θεοτόκε ἁγνή,
χερουβικὸν ὄχημα,
ἐξ ἧς Θεὸς ἐτέχθη·
σὺ γὰρ μόνη γέγονας
πηγὴ ἀφθαρσίας

3 φωσφόρον Vm 5 φαιδρύναντα Ck 8 αὐτῶν post ἄθλων Ck Ln Db add. τῷ, αὐτῶν in Vm posterior manus delevit 12 ἀθλοφόροι μάρτυρες Vm 17 ἡμῖν post θαυμάτων Ck Ln Db add. ἡμῖν in Vm deletum 21 οἱ in Vm deletum 25-27 κλεόνικος καὶ εὔτροπος / καὶ ὁ στερρὸς ἐν μάρτυσι / βασιλίσκος ὁ ἔνδοξος Ln 28-36 θεοτ., MR V, 10 30 χερουβικὸν ὄχημα] ὑπερένδοξε χερουβικὸν Vm, in eodem cd. quidam posterius add. ὄχημα

πηγάζουσα πᾶσι ζωήν,
ἀφ' ἧς οἱ ἀρυόμενοι
ἰάματα λαμβάνομεν.

ᾠδὴ β'. *Πρόσεχε,*
οὐρανέ, καὶ λαλήσω
καὶ ἀνυμνήσω

f. 11 || Εὐτρόπιον
σὺν Κλεονίκῳ τιμῶμεν
καὶ Βασιλίσκον,
τοὺς μάρτυρας κυρίου.

Κατήργησας
τῶν εἰδώλων τὴν πλάνην,
Εὔτροπε μάρτυς,
τῇ πίστει τῆς Τριάδος.

Τὸ ἔνθεον,
Βασιλίσκε, ὁρῶντες
τῶν σῶν ἀγώνων,
ὑμνοῦμεν τὸν σωτῆρα.

Εἰρήνευσον
πᾶσαν τὴν οἰκουμένην
ταῖς ἱκεσίαις,
Χριστέ, τῶν ἀθλοφόρων.

θεοτ. * Ἄχραντε,
θεοτόκε παρθένε,
ὑπὲρ τοῦ κόσμου
ἱκέτευε ἀπαύστως.

35 ἐξ ἧς Db Vm 36 λαμβάνωμεν Vm Odem β' Vm Ln om. heirm. β' EE 78, n. 110, Germani 53-56 θεοτ. MR VI, 113

ᾠδὴ γ΄. *Στερέωσον, κύριε,*
τὰς καρδίας ἡμῶν

Ἀθλητικὸν φρόνημα
ἐνδυσάμενος, Εὐτρόπιε,
καὶ χάριτος πλησθείς,
δι' ἀμφοτέρων τοὺς ἐχθροὺς
ἐτροπώσω τοῦ σταυροῦ.

Θεοπρεπῶς ἐξύφανας
τὴν χλαμύδα σου, μαρτυρικοῖς
ἐμβαφεῖσαν αἵμασιν,
καὶ ἐκοσμήθης εὐσεβῶς,
Βασιλίσκε θεόφρον.

Πρεσβείαις, ὁ Θεὸς ἡμῶν,
τῶν ἀθλοφόρων σου εἰρήνευσον
πᾶσαν τὴν οἰκουμένην,
καὶ κατάπεμψον ἡμῖν
τοὺς πολλοὺς οἰκτιρμούς σου.

θεοτ. Ὑμνήσωμεν τὴν ἄχραντον
ὡς μητέρα Θεοῦ, ὅτι ἐβλάστησεν
ἐξ αὐτῆς ὁ λυτρωτής,
ὃν ὑμνεῖ τὰ Χερουβὶμ
καὶ δοξάζει Σεραφίμ.

Κάθισμα.

Ἦχος α΄. *Χορὸς ἀγγελικὸς*

Τριάδα τὴν σεπτὴν
....

---

heirm. γ΄ EE 75, n. 107, Andreae Db extenso heirm. refert: *Στερέωσον, κύριε, / τὰς καρδίας ἡμῶν / καὶ φώτισον / εἰς τὴν σὴν ὑμνῳδίαν / τοῦ δοξάζειν σε ἀεὶ / εἰς αἰῶνα αἰῶνος.* (*ἀεὶ … αἰῶνος*] *σωτήρ, εἰς αἰῶνας αἰώνων. EE*) 58 ἐπενδυσάμενος Vm 59 καὶ τῆς χάριτος Db Ln καὶ χάριτος ἐπλήσθης Vm 64 αἵμασιν ἐμβαφεῖσαν Db ἐνέβαψας αἵμασιν Vm 65 κοσμισθεὶς εὐσεβῶς in Vm, sed ipsa verba posterior manus delevit 71 τοὺς πολλούς σου οἰκτιρμοὺς Ln
κάθ. MR IV, 5; idem κάθ. cum Db Ln post odem γ΄, tum Vm ante canonem tradunt (MR Db Vm Ln κάθ. sub heirm. praebent « Τὸν τάφον σου, Σωτήρ,)

ᾠδὴ δ΄. *Τὴν ἀκοήν σου, κύριε, / εἰσακήκοα καὶ ἐφοβήθην*

Ἀξιεπαίνοις ᾄσμασιν
ἀνυμνήσωμεν τοὺς ἀθλοφόρους,
Κλεόνικον
σὺν Εὐτροπίῳ καὶ Βασιλίσκῳ,
ἵνα πρεσβεύουσιν ἀκαταπαύστως
πρὸς Χριστὸν τὸν σωτῆρα
σῶσαι τὰς ψυχὰς ἡμῶν.

Κραταιωθέντες, μάρτυρες,
ἐν πίστει τῆς ὁμολογίας,
κατηργήσατε
τοῦ τυράννου τὰς παρατάξεις,
f. 11v ‖ τὰς πολυτρόπους πλοκὰς τῶν βασάνων
διαλύσαντες ὅπλοις
τῆς πίστεως, ἔνδοξοι.

Κόσμον καὶ κοσμοκράτορα,
τὰς ἀρχάς τε καὶ τὰς ἐξουσίας
τοῦ ἄρχοντος
τοῦ ἀέρος καταβαλόντες
μαρτυρικῶς ἐν σταδίῳ τῇ πίστει,
ἀθλοφόροι κυρίου,
τῆς δόξης ἐτύχετε.

θεοτ. Ὡς λιμένα εὔδιον
καὶ ἐλπίδα ἡμῶν σε ὑμνοῦμεν,
πανάχραντε
θεοτόκε, μήτηρ ἁγία
τοῦ κατὰ σάρκα ἐκ σοῦ γεννηθέντος
βασιλέως τῆς δόξης,
Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

---

heirm δ΄ EE 79, n. 111, Germani Db heirm. integrum re[illegible] 80 Εὐτροπίῳ] εὐτρόπῳ Ln 81 ἵνα ἀεὶ πρεσβεύουσιν ἀπαύστως Vm [illegible] μάρτυρες] πνεύματι Ln 86 κατήργησαν Ln καθείλετε Db καθείλατε [illegible] 88 τὰς πολυτρόπους] καὶ πολυπλόκους Db τὰς δυσχερεῖς Vm 89 [illegible]λύσατε Db 90 οἱ μάρτυρες πίστεως Ln

ᾠδὴ ε'. *Τὴν σὴν εἰρήνην δὸς ἡμῖν,*
υἱὲ τοῦ θεοῦ·
ἐκτός σου ἄλλον Θεὸν
οὐ γινώσκομεν,
τὸν ἐν τοῖς ὑψίστοις σὺν πατρὶ
καὶ πνεύματι δοξολογούμενον.

Οἱ ἀθλοφόροι, κύριε,
ἐνεκαρτέρησαν
ἐν τοῖς βασάνοις στερρῶς,
ἀνδρειωθέντες ἐν σοὶ
τῷ ἀγωνοθέτῃ καὶ σωτῆρι
καὶ τοῖς ἄθλοις ἐνισχύοντι.

Χωρισθέντες, ἔνδοξοι,
τῇ τελειώσει ὑμῶν,
μαρτυρικῶς δὲ τῇ πίστει
ἑνωθέντες ὁμοῦ,
ἐσπεύσατε οἰκῆσαι τὴν οὐράνιον
μητρόπολιν ἀχώριστοι.

Ὡς δυνατοὶ γενόμενοι,
μάρτυρες ἅγιοι,
ἠκονημένα τὰ βέλη
τῶν ῥημάτων ὑμῶν
ἐπήξατε ἀνδρείως ἐν καρδίαις
τῶν ἐχθρῶν τοῦ βασιλέως Χριστοῦ.

τεοθ. * Οἱ ἐξ ἐθνῶν ὑμνοῦμέν σε,
θεοτόκε ἁγνή,
ὅτι Χριστὸν τὸν Θεὸν
ἡμῖν ἔτεκες,
τὸν ἐκ τῆς κατάρας τοὺς ἀνθρώπους
διὰ σοῦ ἐλευθερώσαντα.

heirm. ε' EE 78 n. 110, Germani Vm heirm. integrum refert
3 γὰρ post σου EE add. 118 ἅγιοι μάρτυρες Db 121 καρδία Ln
123-128 θεοτ. TR, 670 126 ἡμῶν TR

ᾠδὴ ϛ'. *Τοὺς εἰς τὰ τέλη τῶν αἰώνων*

Τὴν Κλεονίκου γενναιότητα,
Εὐτροπίου τὴν στερρότητα
καὶ Βασιλίσκου τὴν θερμὴν
παρρησίαν μιμησώμεθα,
βοῶντες τῷ σωτῆρι·
«σῶσον ἡμᾶς,
ὡς ἔσωσας τοῦ θηρὸς τὸν προφήτην».

Τὰς τῶν βασάνων τρικυμίας
ἀχειμάστως ἐπεράσατε,
τῷ πηδαλίῳ εὐσεβῶς
κυβερνώμενοι τῆς πίστεως,
βοῶντες εὐχαρίστως·
«σῶσον ἡμᾶς,
ὡς ἔσωσας τοῦ θηρὸς τὸν προφήτην».

Ἱερονίκους τοὺς στεφάνους
ἀνεπλέξαντο οἱ μάρτυρες,
ὧν ταῖς πρεσβείαις, ὁ Θεός,
f. 12 τὴν εἰρήνην σου || παράσχου ἡμῖν
καὶ φεῖσαι τοῦ λαοῦ σου,
πάσης ὀργῆς
ῥυόμενος καὶ φθορᾶς καὶ κινδύνων.

θεοτ. Τὸν εἰς τὸ πλήρωμα τοῦ χρόνου
γεννηθέντα ἐκ παρθένου μητρὸς
καὶ ἐκ δουλείας καὶ φθορᾶς
λυτρωσάμενον τὸ γένος ἡμῶν,
ὑμνοῦμεν καὶ βοῶμεν·
«σῶσον, σωτήρ,
ὡς ἔσωσας τοῦ θηρὸς τὸν προφήτην».

heirm. ϛ' EE 78, n. 110, Germani 133 σωτῆρι] δεσπότη Ln 134 ἡμᾶς] σωτήρ Ln 141 ἡμᾶς] σωτήρ Db Ln 142. 156 post τοῦ ce[illegible] om. Ck
156 καὶ ῥῦσαι πάσης φθορᾶς τὸν λαόν σου Ln

Κάθισμα.

Ἦχος γ'. *Θείας πίστεως ὁμολογίᾳ*

Ζέσει πίστεως φαεινοτάτης
διελύσατε κρυμὸν ἀπάτης
καὶ πεῖραν πολλῶν βασάνων ἐνέγκαντες
πρὸς ἀναψύξεως ὕδωρ ἐφθάσατε,
θαυματουργίαις τὸν κόσμον δροσίζοντες,
θεῖοι μάρτυρες·
Χριστὸν τὸν Θεὸν αἰτήσασθε
δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

ᾠδὴ ζ'. *Τρεῖς παῖδες ἐν καμίνῳ*

Πανένδοξοι ὁπλῖται,
οὐρανόφρονες μάρτυρες,
καρτερόψυχε Εὐτρόπιε, Κλεόνικε
σὺν Βασιλίσκῳ, βοᾶτε·
« εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

Τίμιος ἐναντίον
τοῦ κυρίου ὁ θάνατος
τῶν μαρτύρων, τῶν πιόντων τὸ ποτήριον
ὡς σωτήριον πόμα,
προσκαλουμένων εὐσεβῶς
αὐτοῦ τὸ ὄνομα.

Οἱ μάρτυρες τὴν πλάνην
τοῦ ἐχθροῦ κατεπάτησαν

---

heirm. καθ. MR II, 55; ipsum κάθ. in Vm ante canonem traditur, idem om. Ln.

heirm. ζ' EE 79, n. 111, Germani 159 καρτερόψυχοι κλεόνικε εὐτρόπιε Db, καρτερόψυχοι εὐτρόπιε κλεόνικε Vm, καρτερόψυχε κλεόνικε εὔτροπε Ln 161-162 ὑπὲρ ἡμῶν τῷ λυτρωτῇ / τοῦ οἰκτειρῆσαι ἡμᾶς Db, ὑπὲρ ἡμῶν πρὸς τὸν θεὸν / τοῦ οἰκτειρῆσαι ἡμᾶς Ln 161-173 cdd. varie abrumpunt laudem

καὶ στεφάνους οὐρανόθεν ἐκομίσαντο,
μετ' ἀγγέλων βοῶντες·
« εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

θεοτ. Ἡ μήτρα σου, παρθένε,
Θεὸν Λόγον ἐχώρησε
τὸν ἀχώρητον παντὶ καὶ ἀδιάστατον πατρὶ
καὶ ὀφθέντα τοῖς βροτοῖς,
δι' ἀγαθότητα πολλήν,
ἐκ σοῦ τῆς πάντων χαρᾶς.

ᾠδὴ η'. *Τὸν ἐν φλογὶ τοῖς παισὶ τῶν Ἑβραίων*

Ἀθλητικὴν
ἐνδυσάμενοι τόλμαν
πρὸς τοὺς τυράννους,
τὰς πικρὰς ἀλγηδόνας
οἱ Χριστοῦ ἀδάμαντες
ἐκαρτέρουν γενναίως,
σὲ ὁμολογοῦντες,
Χριστέ, εἰς τοὺς αἰῶνας.

Εἰδωλικὴν
κατῃσχύνατε πλάνην,
μάρτυρες ἔνδοξοι,
καὶ τὴν πρόσκαιρον δόξαν
καὶ τρυφὴν μισήσαντες,
ἀδαπάνητον πλοῦτον
καὶ ἀΐδιον δόξαν
ἐκληρώσασθε ἅμα.

Σῶσον ἡμᾶς
ταῖς εὐχαῖς τῶν ἁγίων

175-180 Ln θεοτ. praebet « Ἐτέχθης ἐκ παρθένου » MR V, 1[illegible]

heirm. η' EE 78, n. 110, Germani 191 ἔνδοξοι] ἅγιοι Ln 194 ἀδάπανον Ln 195 καὶ ζωὴν καὶ δόξαν Vm

σοῦ ἀθλοφόρων,
Κλεονίκου, Εὐτρόπου,
Βασιλίσκου, κύριε,
f. 12v καὶ ἀξίωσον ‖ πάντας
διὰ μετανοίας
τῆς σῆς φιλανθρωπίας.

θεοτ. Χαῖρε, σεμνή,
δυσανάβατον ὕψος
τοῖς τῶν βροτῶν ὀφθαλμοῖς·
χαῖρε, ὄμμασι νόων
βάθος δυσθεώρητον·
χαῖρε, μῆτερ παρθένε
καὶ θεοκυῆτορ,
εὐλογημένη Μαρία.

ᾠδὴ θ'. *Σὲ τὴν ἀκατάφλεκτον βάτον*
καὶ ἁγίαν παρθένον
τὴν μητέρα τοῦ φωτὸς
καὶ θεοτόκον

Πίστις καὶ ἐλπὶς καὶ ἀγάπη
μυστικῇ πανοπλίᾳ
θωρακίσασα ποτὲ
τοὺς ἀθλοφόρους,
ἀπροσίτους αὐτοὺς
τοῖς ἐχθροῖς ἀπειργάσατο.

Πύργοι ἀσφαλεῖς καὶ λιμένες
καὶ ἀσάλευτοι στῦλοι
τῶν τοῦ κυρίου ἐντολῶν
οἱ ἀθλοφόροι
γεγονότες, ἡμᾶς
ταῖς εὐχαῖς διασῴζουσιν.

212 Μαρία om. Ln
heirm. θ' EE 79, n. 111, Germani   Vm heirm. integrum praebet
4 Db ἄ⟨σωμεν⟩ post θεοτόκον add.   221 τῶν in Vm deletum

Πρόβολοι τῆς πάντων ἐλπίδος
καὶ τῆς πίστεως στῦλοι
καὶ θεμέλιοι στερροὶ
ἀναδειχθέντες
τῆς ἀγάπης Χριστοῦ
ἐδοξάσθητε, ἅγιοι.

θεοτ. * Χαῖρε, τῶν εἰς σὲ προστρεχόντων
τὸ ἀπόρθητον τεῖχος·
χαῖρε, εὔδιε λιμὴν
τῶν σὲ σεβόντων·
χαῖρε, μήτηρ Χριστοῦ
τοῦ Θεοῦ, ἀειπάρθενε.

227 καὶ θεμέλιοι om. Ln   230 ἅγιοι Ck Db Lb om.   τοῦ θεοῦ ἐδοξάσθητε Ln   231-236 θεοτ. Pent., λζ'.

CANON V

3 MART.

IN SS. EUTROPIUM, CLEONICUM ET BASILISCUM

Paris. gr. 1563 = Pb, ff. 8v-11v
Mess. gr. 163 = Mg, ff. 10-14
Barber. gr. 460 = Bd, ff. 68v-70v
Paris. gr. 341 = Pq, pp. 14-19

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Τριῶν μεγίστων ἆθλα τιμῶ μαρτύρων. Ἰωσήφ.

Ἦχος α'.

ᾠδὴ α'. *Σοῦ ἡ τροπαιοῦχος δεξιά*

Ταῖς ὑπερκοσμίοις ἀστραπαῖς
τῆς τρισηλίου αὐγῆς αὐγαζόμενοι,
μάρτυρες πανεύφημοι,
τοὺς εὐσεβῶς ὑμᾶς νῦν μακαρίζοντας,
ἐν τῇ φωτοφόρῳ
ὑμῶν ἀθλήσει, φωτίσατε.

Ῥήμασιν ὡς βέλεσι, σοφοί,
τῶν παρανόμων καρδίας ἐτρώσατε·
ὅθεν ὑπεμείνατε
καρτερικῶς τὰς τρώσεις καὶ τὰς μάστιγας,
καθομολογοῦντες
Θεοῦ τὸ ἅγιον ὄνομα.

Ἱερολογίαις ἱεραῖς
τυραννικῶν πρὸ βημάτων κηρύξαντες,
μάρτυρες ἀοίδιμοι,

heirm. α' EE 1, n. 1, Joannis 8 παρανομούντων Bd 10 μάστιγας] στίγματα Mg 15-16 μάρτυρες ἀοὶ δι ἡμᾶς παθεῖν καταδεξάμενον (sic) Mg

τὸν δι' ἡμᾶς παθεῖν καταδεξάμενον,
τὰς ἐπαγομένας
στερρῶς βασάνους ἠνέγκατε.

θεοτ. Ὤφθης πλατυτέρα οὐρανῶν,
τὸν μηδαμοῦ χωρητὸν σωματώσασα·
τοῦτον οὖν ἱκέτευε
f. 9 || πάσης ἡμᾶς στενοχωρίας ῥύσασθαι
καὶ αἰωνιζούσης,
παρθενομῆτορ, κολάσεως.

ᾠδὴ γ'. *Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν*

Νοὸς καθαραῖς ἐπιβολαῖς
τὰ θεῖα φανταζόμενοι,
ἀνδρειοτάτῃ γνώμῃ, μακάριοι,
πρὸς τὰς βασάνους ηὐτομολήσατε,
δυσμενῆ ἀσώματον,
ἀθληταί, τροπαιούμενοι
μετὰ σώματος· ὅθεν δοξάζεσθε.

Μελῶν ἐκτομὰς διὰ Χριστόν,
σοφοί, ἐγκαρτερήσαντες,
ταῖς τῶν αἱμάτων θείαις προχύσεσι,
τὴν γῆν ὁσίως καθηγιάσατε
καὶ τὰ ἐπιβώμια,
δαίμοσι φερόμενα,
κατεπαύσατε, μάρτυρες, αἵματα.

Ἐτέθητε ὥσπερ φωταυγεῖς
ἐν ὕψει τῆς ἀθλήσεως
ὡς ἀληθῶς ἀστέρες, πυρσεύοντες
τὴν οἰκουμένην ἀδύτοις λάμψεσι
καὶ τὸ σκότος λύοντες
τὸ τῆς πλάνης, ἅγιοι·
διὰ τοῦτο πιστῶς μακαρίζεσθε.

heirm. γ' EE 1, n. 1, Joannis 25 ἐπιβουλαῖς Bd 32 ἐ[illegible]χῖς Pb Bd 34 θεία Mg αἵματα] ἔνδοξοι Bd 39-45 trop. om. Bd 4[illegible] [illegible]δύτως Pq 43 τὸ om. Pq 45 πίστει Pq

θεοτ. Γαστρὶ ὑποδέδεξαι Χριστόν,
γαστέρα τὸν κενώσαντα
παντουργικῷ τοῦ Ἅιδου βουλήματι·
αὐτὸν δυσώπει, θεοχαρίτωτε,
ἐκ δουλείας ῥύσασθαι
ἁμαρτίας ἅπαντας
τοὺς πιστῶς σε ἀεὶ μακαρίζοντας.

Κάθισμα.

Ἦχος α'. *Τὸν τάφον σου, σωτήρ,*

Τριάδα τὴν σεπτὴν
....

f. 9v ᾠδὴ δ'. *Ὄρος σε τῇ χάριτι τῇ θείᾳ κατάσκιον*

Ἵσταντο οἱ τρεῖς ἐν τῷ σταδίῳ κηρύττοντες
ἕνα τρισήλιον Θεὸν
καί, τῶν μαστίγων τὴν πυρὰν
στερρῶς ὑπομείναντες,
στῦλοι πυρὸς
τῆς ἐκκλησίας ἐδείχθησαν,
τῶν εὐσεβῶν ἐν Χριστῷ προηγούμενοι.

Στήσαντες τοὺς πόδας ἐπὶ πέτραν τῆς πίστεως,
οὐκ ἐσαλεύθητε πολλῶν
πειρατηρίων μηχαναῖς,
ἀλλ' ὤφθητε ἄσειστοι,
τοὺς δυσμενεῖς
ὑποσκελίζοντες, μάρτυρες,
καὶ παντελῶς ἐκμειοῦντες ἐν χάριτι.

Τίμιοι ὡς λίθοι ἐπὶ γῆς κυλιόμενοι,
οἰκοδομίαν πονηρὰν

50 δουλείας] κοιλίας Mg Pq — κάθ. MR IV, 15; ipsum κάθ. Mg ante canonem refert. Post κάθ. in Pb legitur: θεοτ. Ἐλπὶς χριστιανῶν ... MR IV, 15, σταυροθεοτ. Ἡ ἄσπιλος ἀμνὰς ... MR IV, 91.
heirm. δ' EE 1, n. 1, Joannis 58 τῇ ἐκκλησίᾳ Bd 59 προσηγούμενοι Pq

πολυθεΐας ἀληθῶς,
σοφοί, κατεστρέψατε,
καὶ ἑαυτοὺς
Θεοῦ ναοὺς ἐδομήσατε
καὶ πρὸς ναὸν ἐπουράνιον ἤρθητε.

θεοτ. Ὤφθη σου ἡ μήτρα θεοφόρον παλάτιον,
ἐν ᾧ ὁ πάντων βασιλεὺς
ἐπανεπαύσατο Χριστός,
ναοὺς ἐργαζόμενος,
μῆτερ ἁγνή,
f. 10 καὶ ‖ φωταυγῆ οἰκητήρια
τοὺς εὐσεβεῖς ἀπροσίτου θεότητος.

ᾠδὴ ε'. *Ὁ φωτίσας*

Νόμον θεῖον
συντηροῦντες, καλλίνικοι μάρτυρες,
τοῖς ἀνόμοις
ἀνδρειότητι γνώμης ἀντέστητε
καὶ καταικιζόμενοι
καὶ σπαραττόμενοι τὰς σάρκας,
νίκην αἰώνιον ἤρασθε.

Αἰνέσωμεν
Βασιλίσκον καὶ πίστει τιμήσωμεν
Κλεόνικον
καὶ Εὐτρόπιον τοὺς μεγαλόφρονας,
πίστει ἐναθλήσαντας
ὑπὲρ Τριάδος παναγίας
καὶ ὑπὲρ ἥλιον λάμψαντας.

Θαυμάσια
ἐκτελοῦντες εἰς δόξαν Θεοῦ ἡμῶν,
εἱλκύσατε
τοὺς ὁρῶντας πρὸς πίστιν οὐράνιον,

69 ἀληθὴς Pq 74 74 ὤφθησον (sic) Mg 79 οἰκητήριον Pq
heirm. ε' EE 1, n. 1, Joannis 98 οὐράνιον] σωτήριον Bd Mg Pq

ἀθληταὶ πολύαθλοι,
ἄνθη τερπνὰ τοῦ παραδείσου,
τῆς ἐκκλησίας ἐρείσματα.

θεοτ. Λαμπρότησι
τοῦ ἐκ σοῦ ὑπὲρ νοῦν ἀνατείλαντος
καταύγασον
τὰς ἡμῶν διανοίας, πανάμωμε,
καὶ τὸ σκότος μείωσον
τῶν λογισμῶν τῶν ψυχοφθόρων,
ὅπως ὑμνῶμέν σε, δέσποινα.

ᾠδὴ ς'. *Ἐκύκλωσεν ἡμᾶς ἐσχάτη ἄβυσσος*

Ἀγάλλεται ἡ γῆ καὶ τὰ οὐράνια,
χορεύουσιν οἱ ἄνθρωποι,
τὴν ἐτήσιον τελοῦντες ἑορτὴν
τῶν διὰ Χριστὸν ἄθλα, μακάριοι,
καρτερικῶς
ὑπομεινάντων νοὸς στερρότητι.

Τιμήσας τοῖς καλοῖς σου τρόποις, Εὔτροπε,
Θεὸν τὸν ὑπεράγιον,
ἐτροπώσω μηχανήματα ἐχθροῦ·
ὅθεν σε τιμῶσι πάντες ἄνθρωποι,
οἱ διὰ σοῦ
πταισμάτων λύσιν λαβεῖν ἐλπίζοντες.

f. 10v || Ἰάσεων πηγὰς ἐποχετεύοντες,
τὸν καύσωνα διώκετε,
νοσημάτων τε καὶ θλίψεων, σοφοί,
πᾶσιν εὐρωστίαν ἐπιπέμποντες
τοῖς εὐσεβῶς
ὑμῶν τῇ σκέπῃ ἀεὶ προστρέχουσιν.

99 παλύαθλοι] μακάριοι Bd 101 ἐρίσματα Mg Pq 108 ὑμνοῦμεν Mg Pq heirm ς' EE 1, n. 1, Joannis 112 χριστοῦ Pq 115 Εὐτρόπιε Mg Bd Pq 116 ὑπεράγαθον Pq 118 ἄνθρωποι] εὔτροπε Bd 121 ἐποχετεύετε Pq

θεοτ. Μαράνασα τῷ σῷ βλαστῷ, πανάμωμε,
τὴν πάλαι ἐκβλαστήσασαν
παραβάσεσι κακίαν τοῦ ἐχθροῦ,
τοὺς ἐν τῇ ψυχῇ μου ἐκβλαστάνοντας
φθοροποιοὺς
καὶ ἀκανθώδεις λογισμοὺς ἔκτιλον.

ᾠδὴ ζ'. *Σὲ νοητὴν*

Ὥσπερ τρυφὴν
θείαν λογιζόμενοι
τὰς τῶν μελῶν ἀποκοπάς,
τὰ ῥαπίσματα, τοὺς ξεσμούς,
θάνατον τὸν βίαιον,
μάρτυρες, ἠγάλλεσθε
καὶ τῷ Θεῷ προθύμως ἐμέλπετε·
« ὁ αἰνετὸς τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος ».

Μετὰ πολλὰς
τιμωρίας σώματος
σταυρὸν ὑπέστητε στερρῶς,
ἐν μιμήσει τοῦ λυτρωτοῦ,
ἔνδοξε Εὐτρόπιε,
μέγιστε Κλεόνικε,
καὶ μακαρίου τέλους ἐτύχετε,
τὸν αἰνετὸν τῶν πατέρων
Θεὸν καὶ ὑπερένδοξον.

Ἀποσκοπεῖν
ὑμῖν προτρεπόμενος
πρὸς ἀθανάτους ἀμοιβὰς
φρουρουμένοις ὤφθη Χριστός,

heirm. ζ' EE 1, n. 1, Joannis 138 ἀγάλλεσθε Bd 139 [illegible]ροθύμως om. Mg 140, 149, 158 cdd. varie incidunt invocationem 148 καὶ μακαρίας ζωῆς ἐτύχετε Bd 149 in Mg post αἰνετὸν legitur ἀ[illegible]ύντ ὑμν καὶ ὑπερ (sic) 152 ἡμᾶς Bd ὑμᾶς Pq 154 φρουρουμένους Bd [illegible]

ὅνπερ θεασάμενοι,
θάρσους ἐπληρώθητε,
ἀναβοῶντες, μάρτυρες ἔνδοξοι·
« ὁ αἰνετὸς τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος ».

θεοτ. Ῥῦσαι ἡμᾶς,
παναγία δέσποινα,
ἐξ ἐθνικῆς ἐπιδρομῆς,
συναντήματος πονηροῦ,
πάσης περιστάσεως
καὶ τῆς κατακρίσεως
τῆς αἰωνίου, πίστει κραυγάζοντας·
« ὁ αἰνετὸς τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος ».

ᾠδὴ η΄. *Ἐν καμίνῳ*
παῖδες Ἰσραὴλ

f. 11 || Τεταμένον·
ἔχοντες τὸν νοῦν
πρὸς μόνον τὸν δεσπότην,
ἐτάθητε μαστιζόμενοι,
πανεύφημοι, σφοδρῶς
καὶ καταικιζόμενοι
ἐβοᾶτε· « πάντα τὰ ἔργα κυρίου
τὸν κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

Ὑψωθέντες
ἐπὶ τοῦ σταυροῦ
ὡς πάλαι ὁ δεσπότης,
μεγάλης κατηξιώθητε
εὐκλείας, ἀθληταί,

167-168, 175-178, 185-188 cdd. varie praecidunt laudem heirm. η΄ EE 1, n. 1, Joannis 172 ἐτάνθητε Mg ῥαβδιζόμενοι Bd 173 γενναῖοι ἀθληταί Bd

βοῶντες καὶ λέγοντες·
« εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου
τὸν κύριον, ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

Ῥώμῃ θείᾳ
οἱ πανευκλεεῖς
ῥωσθέντες ἀθλοφόροι,
ἀνόμων τὰς παρατάξεις
ἐτροπώσαντο στερρῶς,
βοῶντες καὶ λέγοντες·
« εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου
τὸν κύριον, ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

τριαδ. Ὡς μονάδα
φύσει σε ὑμνῶ,
θεότης παναγία,
τρισὶ δὲ ταῖς ὑποστάσεσιν
ἀτμήτως διαιρῶν,
κραυγάζω γηθόμενος·
« εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου
τὸν κύριον, ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

θεοτ. Ναὸς ὤφθης
τοῦ Ἐμμανουὴλ
καὶ πύλη, δι' ἧς μόνος
εἰσῆλθέ τε καὶ ἐξῆλθε
ὡς ἐπίσταται, ἁγνή,
σῴζων τοὺς κραυγάζοντας·

193 στερρῶς] σφοδρῶς Pq 195-198, 205-208, 215-218 cdd. varie recidunt exhortationem 199-208 τριαδ. om. Bd 204 κραυγάζων Pq 212 εἰσῆλθέ τε] διῆλθε γὰρ Bd 213 ἁγνή] αὐτὸς Mg

«εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου
τὸν κύριον, ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας».

ᾠδὴ θ'. *Τύπον*
τῆς ἁγνῆς λοχείας σου

Ἵνα
Ἰησοῦν κερδήσητε
τὰ τοῦ παρόντος βίου πάντα ἡγήσασθε
σκύβαλα, καθὼς Παῦλος ὁ θεῖος ἐδίδαξε·
διὰ τοῦτο καλῶς ἐναθλήσαντες,
τοὺς οὐρανοὺς οἰκεῖτε,
στεφανηφόροι μεγαλώνυμοι.

Ὤφθη
ὥσπερ πύργος τρίγωνος
τῶν ἱερῶν μαρτύρων τὸ θεῖον σύστημα,
τείχη πονηρὰ κατεδαφίσαν ἐν χάριτι
ἀθεΐας καὶ νῦν πολιτεύεται
ἐν πόλει Θεοῦ ζῶντος,
τῶν πρωτοτόκων ἐν σκηνώμασιν.

Στέφος
ἀφθαρσίας, ἅγιοι,
f. 11v παρὰ Χριστοῦ λαβ||όντες, χλαῖνάν τε βάψαντες
ἐκ μαρτυρικῶν ὑμῶν αἱμάτων, παρίστασθε
βασιλεῖ τῶν αἰώνων, λαμπόμενοι
λαμπραῖς φωτοχυσίαις
καὶ πανολβίαις διαδόσεσιν.

Ἤδη
τῷ Θεῷ ἐγγίζοντες

heirm. θ' EE 1, n. 1, Joannis 229 κατεδαφίσαντες Bd κατεδαφήσαν Mg κατεδάφισαν Pq 230 πολιτεύεται] τὸ πολίτευμα Bd πολιτεύετε Pq 236 παρίστασθε] πανόλβιοι Pq 237 λαμπόμενοι] παρίστασθε Pq 239 πανολβίοις Bd Pq διαδόσεσιν] διαδήμασιν Bd

222 Philip. 3,8

καὶ ἀσωμάτων δήμοις συνεορτάζοντες,
τοὺς ἐπὶ τῆς γῆς ὑμᾶς ἀεὶ μακαρίζοντας
καὶ τὴν μνήμην ὑμῶν ἑορτάζοντας,
μάρτυρες, οὐρανίου
τυχεῖν λαμπρότητος αἰτήσασθε.

θεοτ. Φρίττει
τῶν ἀγγέλων τάγματα
τὸν ἐκ τῶν σῶν λαγόνων ἐξανατείλαντα,
ὃν ὑπὲρ ἡμῶν, παρθενομῆτορ, ἱκέτευε,
τῆς φρικτῆς ὅπως πάντας λυτρώσηται
κολάσεως καὶ σκότους
τοῦ ἐξωτέρου τοὺς ὑμνοῦντάς σε.

242 συνεορτάζοντες] συναγελάζοντες Bd 243 ἀεὶ om. Pq 244 ἐ[illegible]ζοντες Pq 253 τοὺς ἐξωτέρου ἀνυμνοῦντας Mg τοὺς ὑμνοῦντας] ἀνυμνοῦντας B[illegible]q

IN SS. PAULUM ET JULIANAM

Synaxarium, 505: .....Οὗτοι ὑπῆρχον ἐπὶ Αὐρηλιανοῦ τοῦ βασιλέως ἐν Πτολεμαΐδι· ἐτύγχανον δὲ ἀδελφοὶ κατὰ σάρκα, γονέων εὐσεβῶν γέννημα. Καὶ ὁ μὲν Παῦλος τὰς ἱερὰς βίβλους ὑπαναγινώσκων τῷ λαῷ διαβάλλεται ὡς χριστιανὸς καὶ τῷ βασιλεῖ παρίσταται. Διελέγξας δὲ τῶν εἰδώλων τὴν ματαιότητα, ἀναρτηθεὶς ξέεται. Ἡ δὲ Ἰουλιανὴ τὸν ἀδελφὸν ἰδοῦσα ξεόμενον, κατεβόα τοῦ τυράννου. Συλληφθεῖσα οὖν καὶ αὐτὴ δεσμεῖται καὶ εἱρκτῇ ἀμφότεροι βάλλονται καὶ ἐπὶ κλίνης σιδηρᾶς πεπυρακτωμένης ἁπλοῦνται καὶ τοὺς νώτους ἄνωθεν τύπτονται..... Διαληφθέντες δὲ δεσμοῖς σιδηροῖς ἐν εἱρκτῇ βάλλονται καὶ ἀγγέλου ἐπιφανείᾳ λυθέντες καὶ τροφῆς κορεσθέντες αὖθις παρίστανται τῷ βασιλεῖ..... ὅθεν ἰοβόλοις ἑρπετοῖς οἱ ἅγιοι συναποκλεισθῆναι καταδικάζονται, ἐξ ὧν διαμείναντες ἀβλαβεῖς ὁ μὲν ἅγιος Παῦλος τὰς σιαγόνας μολυβίσι τύπτεται σιδηρῷ πάλῳ προσδεθεὶς καὶ ἑκατέρωθεν ῥάβδοις πεπυρωμένοις αἰκίζεται. Ἡ δὲ ἁγία Ἰουλιανὴ εἰς πορνεῖον ἀπάγεται ὑπὸ ἀσώτων διαφθαρῆναι· οὓς παραγενομένους ἄγγελος ἀπετύφλου. Ἄφθορος δὲ διαμείνασα, αὖθις μετὰ τοῦ ἀδελφοῦ βόθρῳ πυρὸς ἐμβάλλεται· κελεύσαντος δὲ τοῦ τυράννου..... λιθοβοληθῆναι, ὤφθη ἄνωθεν νεφέλη πεπληρωμένη φλογός· ἥτις πλησίον αὐτοῦ πυρὸς κατέχεεν ὄμβρους. Ὁ δὲ..... λαμπάσι τὰς ὄψεις αὐτῶν καὶ ὅλον τὸ σῶμα καταφλέξας τὰς κεφαλὰς ἀποτμηθῆναι προσέταξε.....

Crypt. Δ.α. XVII	=	Ck,	ff. 13-15
Crypt. Δ.α. VII	=	Db,	ff. 12ᵛ-15ᵛ
Crypt. Δ.α. XXII	=	Dc,	ff. 3-5ᵛ
Vat. gr. 2008	=	Vm,	ff. 86ᵛ-87ᵛ
Barber. gr. 460	=	Bd,	ff. 70ᵛ-72
Vallic. gr. E 54	=	Ea,	ff. 89-90ᵛ
Paris. gr. 341	=	Pq,	pp. 20-25
Mess. gr. 163	=	Mg,	ff. 15-18
Reg. gr. 61	=	Ln,	ff. 45ᵛ-46ᵛ
Vat. gr. 2069	=	Vb,	ff. 153-154ᵛ
Sab. Jeros. 241	=	Sk	

Ὁ κανών *, φέρων ἀκροστιχίδα·
Τὴν αὐτάδελφον αἰνέσω ξυνωρίδα. Ἰωσήφ.

Ἦχος δ'.
ᾠδὴ α'. *Τριστάτας κραταιούς*

Τοὺς μάρτυρας Χριστοῦ,
τὴν τερπνὴν ξυνωρίδα,

* canonem ed. K. M. Κοικυλίδης in *Αἱ παρὰ τὸν Ἰορδάνην λαῦραι Καλαμῶνος καὶ ἁγίου Γερασίμου*, Hierosolymae 1902, ed. litteris Sk indicatur (cfr. commentarium). heirm. α' EE 95, n. 135, Joannis   vv. 1-16 in Ea desunt

τῆς Τριάδος τῆς σεπτῆς
ἀστέρας τοὺς φαιδροὺς
εὐφημήσωμεν σήμερον
ἅπαντες μεγαλοφώνως,
ταῖς αὐτῶν παρακλήσεσιν
ὅπως εὕρωμεν χάριν καὶ ἔλεος.

Ἠθλήσατε στερρῶς,
παραδόντες τὸ σῶμα
αἰκισμοῖς παντοδαποῖς·
καὶ νῦν τοὺς οὐρανοὺς
κατοικεῖτε γηθόμενοι,
μάρτυρες στεφανηφόροι,
τῶν ἀγγέλων συνόμιλοι·
διὰ τοῦτο ὑμᾶς μακαρίζομεν.

Νυττόμενος σαφῶς
μαρτυρίου τῷ φίλτρῳ,
τὸν σωτήριον σταυρὸν
ἐπ' ὄψεσι, σοφέ,
τοῦ τυράννου ἐτύπωσας,
Παῦλε, ὡς καταμηνύων
σεαυτὸν ἀγνοούμενον,
καὶ βασάνων πρὸς πεῖραν ἐχώρησας.

θεοτ. Αἰνέσωμεν, πιστοί,
τοῦ Θεοῦ τὴν μητέρα
καὶ βοήσωμεν αὐτῇ
ἐξ ὅλης τῆς ψυχῆς·
« παναμώμητε δέσποινα,
ἴασαι ἡμῶν τὰ πάθη
καὶ τὸν νοῦν φωταγώγησον
καὶ πρὸς ἔνθεον κίνησον ἔρωτα ».

5 εὐφημήσωμεν] τιμήσωμεν Pq   8 εὕρωμεν] λάβωμεν Db Dc Bd [illegible] Ln Vb Sk   12 ἐν οὐρανοῖς Bd, τοῖς οὐρανοῖς Pq   17 νυττόμενοι Ck   σαφ[illegible]] σφοδρῶς Db Vb   18 τὸ φίλτρον Pq   19 τὸν σταυρὸν τὸν τοῦ χριστοῦ Bd   [illegible] om. Vb   20 ἐπόψεσι Sk   24 καὶ] τῶν Bd   25 πιστῶς Dc Bd Mg P[illegible] [illegible] Ln Sk   32 κίνησον ἔρωτα] βίον ὁδήγησον Bd   νίκησον ἔρωτα Pq

f. 13ᵛ || ᾠδὴ γ'. *Ὅτι στεῖρα ἔτεκεν*

Ὑψωθέντα ἐν ξύλῳ
καὶ αἰκισμοῖς ὁμιλοῦντα
τὸν ἀδελφὸν ἰδοῦσα
ἡ μάρτυς Ἰουλιανή,
πρὸς τοὺς ἀγῶνας ζέουσα τῷ πνεύματι
αὖθις προσεχώρησεν.

Τεταμένη ἐν ξύλῳ,
τὰς ἀνυποίστους βασάνους
γενναιοτάτως φέρει
ἡ μάρτυς Ἰουλιανή,
δυναμουμένη πνεύματι καὶ ψάλλουσα·
« ἅγιος εἶ, κύριε ».

Ἀναφθέντες, μάρτυρες,
τῇ τοῦ κυρίου ἀγάπῃ,
τὸ τῶν λεβήτων βράσμα
κατεπατεῖτε ἀνδρικῶς
καὶ νοητῶς φυλάττεσθε, δεχόμενοι
δρόσον ἐπουράνιον.

θεοτ. Διὰ σπλάγχνα, κύριε,
ἐλέους ἄνθρωπος ὤφθης
ἐκ τῆς ἁγνῆς παρθένου
καὶ ἀνεκαίνισας ἡμᾶς,
καταφθαρέντας πάθεσι καὶ τὸ πρῶτον
κάλλος ἀπολέσαντας.

heirm. γ' EE 97, n. 138, Joannis 40 τὰς] τοὺς Pq 41 γενναιοτάτη γνώμη Sk 43 πρὸς τοὺς ἀγῶνας ζέουσα Bd 43-44 καὶ ψαλ.] καὶ ζέουσα, / μάρτυς, ἐκαρτέρησας Sk 44 ἅγιος ἅγιος ἅγιος εἶ κύριε Mg 47 τὰ τῶν λεβήτων βράσματα Bd Pq Ln 48 κατεπατεῖται Bd 49 νοητῶς] ἀβλαβεῖς Dc Pq Mg Ln Sk διαφυλάττεσθε Pq 50 ἐπουράνιον] τὴν οὐράνιον Vm Bd

ᾠδὴ δ'. *Δι' ἀγάπησιν, οἰκτῖρμον*

Ἐπετέθητε ἐν κλίναις πυρακτωθείσαις
καὶ μὴ φλεχθέντες ὅλως
τοὺς δημίους εἰς πίστιν,
μάρτυρες, εἱλκύσατε,
στερρῶς ἐναθλήσαντες.

Λαμπρυνόμενοι τῇ χάριτι τοῦ σωτῆρος,
τοῖς τῶν αἱμάτων ῥείθροις
ἀσεβείας τὴν φλόγα,
μάρτυρες, ἐσβέσατε,
πιστῶς θαυμαζόμενοι.

Φρυαττόμενος ὁ ἄνομος, βαρυτάτοις
ὑμᾶς κλοιοῖς βαρύνει
καὶ δεσμεύει ἀλύσει,
μάρτυρες, τοὺς λύσαντας
τῆς πλάνης τὸν σύνδεσμον.

θεοτ. Ὁ τὴν σύμπασαν τῷ νεύματι πλαστουργήσας
ἐκ σοῦ σαρκὶ γεννᾶται,
παναγία παρθένε,
ξένην ἀναγέννησιν
ἡμῖν παρεχόμενος.

Post odem γ' Par. gr. 341 = Pq praebet hoc κάθισμα. [illegible]ος πλ. δ'. *Τὴν σοφίαν τοῦ Λόγου*

Τῶν βασάνων τὸν ὄγκον ὑπομονῇ / ἀνενδότῳ νικήσαντες, ἀθλη[illegible] / τὴν ἄνω μητρόπολιν / θεῖον κλῆρον εἰλήφατε· / διαπύρῳ γὰρ ζήλῳ / ἐνθέως πυρ[illegible]νοι / διελθόντες ἐν μέσῳ / πυρὸς οὐκ ἐφλέχθητε· / ὅθεν τοὺς ἀγῶνας / τοὺς ὑ[illegible] κατιδόντες οὐράνιοι ἄγγελοι / τὸν σωτῆρα ἐδόξαζον, / ἀθλοφόροι πολύαθλοι, πρεσβε[illegible] / Χριστῷ ⟨τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, / τοῖς ἑορτάζουσι πό[illegible] / τὴν ἁγίαν μνήμην ὑμῶν⟩. Idem κάθ. Mg ante canonem refert

heirm. δ' EE 97, n. 138, Joannis.

60 εἱλκύσαντες Ck Dc 63 ῥείθροις] ὄμβροις Dc Bd [illegible] Mg Ln Sk 69 δεσμεύει] βαρύνει Bd

ᾠδὴ ε΄. *Τὸν φωτισμόν σου, κύριε,*

Νόμον Θεοῦ φυλάττοντες,
ἐγκλείεσθε φρουρᾷ·
χειρὶ δὲ θείου
ἀγγέλου λυθέντες,
ἀναπαυστικῶς
διετελεῖτε,
τὸν Χριστὸν μεγαλύνοντες.

Ἀγαλλομένῳ νεύματι
μετείχετε τροφῆς
χειρὶ ἀγγέλου
ἐπικομισθείσης,
Ἰουλιανὴ
καὶ θεῖε Παῦλε,
ἀθληταὶ γενναιότατοι.

Ἰδὼν ὑμῶν τὸ πρόσωπον
λαμπόμενον φαιδρῶς,
τὸ σκότος φεύγει
καὶ γίνεται υἱὸς
χαίρων τοῦ φωτός,
f. 14 ‖ στερρῶς ἐναθλήσας
ὁ θεόφρων Στρατόνικος.

θεοτ. Νενεκρωμένον πάθεσι,
παρθένε, τὴν ψυχήν,
ζωὴν τεκοῦσα
τὴν ἀληθεστάτην,
ζώωσον, ἁγνή,
καὶ φώτισόν με
λογισμοῖς ἀμαυρούμενον.

heirm. ε΄ EE 101, n. 143, Cosmae 78 συγκλείεσθε Bd Pq Mg Ln Sk 79 θείου] ἁγίου Bd 80 λειφθέντες Ck ληφθέντες Vm ῥυσθέντες Bd 82 διατελεῖτε Bd 83 ἀθληταὶ γενναιότατοι Sk 84 πνεύματι Sk 85 μετέχετε Ea Pq 96 στερρὸς Bd

94-95 Joh. 12,36.

ᾠδὴ ς΄. *Ἐβόησε*
προτυπῶν τὴν ταφὴν τὴν τριήμερο[ν]

Ἐξέοντο
ἀφειδῶς οἱ καλλίνικοι μάρτυρες,
ἀφαιρέσει
τῆς δορᾶς τὴν φθορὰν ἀφαιρούμενοι,
καὶ τὴν ἀφθαρσίαν
στολιζόμενοι θείῳ ἐν πνεύματι.

Συνείχετο
ἀπορίᾳ ὁ πλάνος καὶ ὄφεσι
καὶ ἀσπίσι
καὶ θηρσὶν ἀνημέροις κατέκλεισεν
τοὺς Χριστοῦ ὁπλίτας,
οὓς ὁρῶν ἀβλαβεῖς διεπρίετο.

Ὡς ἔσωσεν
Ἰωνᾶν τοῦ θηρὸς ὁ φιλάνθρωπος,
οὕτω σῴζει
ἰοβόλων δηγμάτων ἀπήμονας
καὶ ὑμᾶς ἀθλοῦντας
τοῦ σταδίου ἐν μέσῳ, μακάριοι.

θεοτ. Ξενίζεται
ἀκοὴ τὰ παράδοξα, ἄχραντε,
τοῦ σοῦ τόκου·
πῶς παρθένος τεκοῦσα διέμεινας
καὶ τροφὴν τῷ πάντας
ἐχορήγησας τρέφοντι νεύματι;

heirm. ς΄ EE 125, n. 172 105 ἐξαίροντο Vb 108 [illegible] φθορᾶς τὴν δορὰν ἐνδυόμενοι Ln φθορὰν] δορὰν Sk ἀφαιρούμενοι] ἐκδυόμεν[οι] [D]c Pq Mg Sk ἐνδυόμενοι Bd 110 ἐν om. Sk 114 κατέκλυσεν Ck συνέκ[illegible] Dc Bd Pq Mg Ln Sk 115 τοὺς Sk 116 διεπρίζετο Dc 119 οὕτως Sk [120] δηγμάτων] θηρίων Vm 124 τὸ παράδοξον Dc Bd Mg Sk ἄχραντε] θέαμα [illegible] 126 πῶς] ὡς Bd 127 τὸν πάντα τρέφοντα νεύματι Bd 128 νεύματι [illegible]ροντι Dc

Κάθισμα.

Ἦχος δʹ. *Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ*

Τοὺς πολυτρόπους αἰκισμοὺς ἐνεγκόντες,
τὸν πολυμήχανον ἐχθρὸν καθελόντες
οἱ ἀθληταί σου, κύριε,
ἀγάλλονται ἐν σοί,
στέφος κομισάμενοι
παρὰ σοῦ ἀφθαρσίας,
ὧν ταῖς παρακλήσεσι
ῥῦσαι πάντας κινδύνων
τοὺς ἐπιτελοῦντας τούτων τὴν σεπτὴν
μνήμην ἐκ πόθου, Χριστὲ πολυέλεε.

ᾠδὴ ζʹ. *Ἀβραμιαῖοι ποτὲ*

Ὑπὸ ἀνδρῶν πονηρῶν
χεῖρας δεθεὶς καὶ πόδας,
πεπυρωμένοις ῥάβδοις τύπτεται
ὁ Παῦλος ὁ πάνσοφος,
ὑπομονῇ ἀμέτρῳ
τὸν πονηρὸν νικήσας.

Νέοις δοθεῖσαν, σεμνή,
καθυβρισθῆναι, κόρη,
χειρὶ ἀγγέλου σὲ διέσωσεν
ἀλώβητον, ἄφθορον
ὁ καθαρὸς νυμφίος,
Χριστὸς ὁ ζωοδότης.

Ὤφθησαν ἄφνω τυφλοὶ
οἱ ἐπελθόντες, μάρτυς,

heirm. καθ. ed. in MR I, 181 4 ἐν σοί] νῦν Dc Ln 9 τούτων] πόθω Bd idem κάθ. Dc Vm Mg ante canonem praebent, Bd Ln, vero, idem κάθ. post odem γʹ tradunt; κάθ. in Ea deest
heirm. ζʹ CP 178, Cosmae 131 πεπυρωμέναις Ln 132 πάνσοφος] θειότατος Bd 134 τῶν πονηρῶν Bd 135 δοθεῖσα Bd Pq 142 μάρτυρες Ln

σὲ ἐνυβρίσαι καὶ πιστεύσαντες
f. 14ᵛ τὸν νοῦν καταυ||γάζονται,
ἀπολαβόντες πάλιν
ταῖς σαῖς εὐχαῖς τὸ βλέπειν.

θεοτ. Ῥῆξον, παρθένε ἁγνή,
τῇ τοῦ υἱοῦ σου λόγχῃ
ἐμῶν πταισμάτων τὸ χειρόγραφον
καὶ σῶσόν με ψάλλοντα·
« ὁ τῶν πατέρων ἡμῶν
⟨Θεὸς⟩ εὐλογητὸς εἶ ».

ᾠδὴ ηʹ. *Λυτρωτὰ τοῦ παντός, παντοδύναμε*

Ἱερώτατον ζεῦγος, αὐτάδελφοι,
ἐμβληθέντες εἰς βόθρον πυρούμενον,
συγκαταβάσει ὤφθητε
ἀκατάφλεκτοι ὄντως
θείου ἀγγέλου,
ἀνυμνοῦντες Χριστὸν τὸν Θεὸν ἡμῶν.

Δεδεμένους καὶ μέσον ὑπάρχοντας
τῆς φλογὸς τοὺς ἁγίους ὁ τύραννος
λίθοις προστάττει βάλλεσθαι,
ἀστραπαὶ οὐρανόθεν
κινούμεναι δὲ
τὸ ἐγχείρημα τάχος διέλυσαν.

Ἀληθέσι σου λόγοις κατέπληξας
τοὺς τυράννους, Θεοῦ τὰ παράδοξα

144 καταυγάζοντες Pq 146 τοῦ βλέπειν Bd 151-1[illegible] [illegible]λογητὸς ὁ Θεὸς / ὁ τῶν πατέρων ἡμῶν Mg
heirm. ηʹ EE 96, n. 135, Joannis 153 αὐτάδελφον Ea 154 πυρούμενοι Pq Mg Ln 156 ὄντες Dc Vm Ln 159 μέσους Ln 1[illegible]-163 ἀστραπαὶ δὲ / κινούμεναι οὐρανόθεν Db Dc Bd Pq Mg Ln Sk 165 κα[illegible]ηξας Dc 166 θεῷ Bd

149 Col. 2,14

διεξελθὼν λαμπρότατα,
πανaοίδιμε Παῦλε,
καὶ ἀναμέλπων·
« εὐλογεῖτε, ὑμνεῖτε τὸν κύριον ».

θεοτ. Ἱεραῖς ἐν φωναῖς μακαρίσωμεν
τοῦ Θεοῦ τὸ ἀμόλυντον σκήνωμα,
τὴν χώραν τὴν ἀνήροτον,
τὴν βλαστήσασαν στάχυν
ἀθανασίας,
τὰς ψυχὰς τῶν πιστῶν διατρέφοντα.

ᾠδὴ θʹ. *Εὔα μὲν τῷ τῆς παρακοῆς*

Ὤφθητε παράδεισος τερπνός,
πανόλβιοι, ζωῆς ξύλον μέσον ἔχοντες,
τὸν τοὺς γενάρχας διὰ ξύλου
τεθνήξαντας ἐν ξύλῳ ζωώσαντα,
καὶ θαύμασιν ὡς ἄνθεσιν ἅπασαν
εὐωδιάζετε διάνοιαν.

Σύμψυχοι φρονήσαντες τὸ ἕν,
ὁμαίμονες γνωρισθέντες θείᾳ χάριτι,
ξίφει ἐτμήθητε τὰς κάρας,
Χριστῷ τῇ κεφαλῇ καθαρώτερον,
πανεύφημοι, ἑνούμενοι, μάρτυρες,
καὶ τοῖς ἀγγέλοις ὁμοιούμενοι.

[illegible]
καὶ ἔνδοξος καὶ ὁ Παῦλος ὁ θαυμάσιος

167 διεξελθὼν] σὺ διελθὼν Bd 169 ἀναμέλπεις Vm Bd 170 ἱερεῖς εὐλογεῖτε τὸν ⟨κύριον⟩ Mg ὑμνεῖτε] τὰ ἔργα Sk ceteri cdd. varie praecidunt orationem heirm. θʹ EE 98, n. 139, Joannis et Stephani 178 ξύλων Ln 180 ζωώσαντας Pq 187 ἑνούμενοι πανεύφημοι μάρτυρες Pq Mg 189 πάνσεμνος Db Ln Sk 190 θαυμάσιον Mg

178 Re. 2,7

δύο ὡς μέγιστοι φωστῆρες
Χριστοῦ τὴν ἐκκλησίαν φωτίζουσιν·
αὐτῶν ταῖς ἱεραῖς παρακλήσεσι
λάμπρυνον, Λόγε, τὰς ψυχὰς ἡμῶν.

θεοτ. Φιλάνθρωπον τέξασα Θεόν,
φιλάγαθε θεοτόκε, τῆς φιλίας με
τῆς πρὸς τὴν σάρκα τὴν δολίαν
f. 15 ἐν τάχει ἐλευθέ||ρωσον, δέσποινα,
καὶ δούλωσον τῷ θείῳ θελήματι
τὸν ἁμαρτίαις σκοτιζόμενον.

193 αὐτῶν ταῖς εὐπροσδέκτοις δεήσεσι Pq Mg, v. om. Ln [illegible] τὰς ψυχὰς ἡμῶν] τὴν καρδίαν μου Bd 197 τῆς δολίας Db Dc Ln Sk τῆς δο[illegible]ς Pq Mg 196-197 φιλάγαθε θεοτόκε τῆς δουλείας μου / τὴν πρὸς τὴν σάρκα [illegible]φιλίας Bd 198 δέσποινα] δέομαι Dc Bd Pq Mg Ln Sk

5 *MART.* *CANON* VII

IN SANCTUM HESYCHIUM

Crypt. Δ.α. XXII = Dc, ff. 6-8ᵛ

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Τοῦ Ἡσυχίου νῦν βοήσω τὸ κλέος.

Ἦχος β΄.

ᾠδὴ α΄. *Δεῦτε, λαοί,*
ᾄσωμεν ᾆσμα

Τοὺς κοσμικοὺς
πάντας θορύβους
ἀποσεισάμενος
τῆς ἡσυχίας ἔρωτι,
Θεῷ ἐλάτρευσας
ἐν βαθείᾳ γαλήνῃ
τὰς ἐρήμους οἰκήσας,
πάτερ Ἡσύχιε.

Οὐκ ἀπαρχήν,
πάτερ, τῷ κτίστῃ
προσενήνοχας
τῶν ὑλικῶν ἀναίσθητον,
ἀλλ' ὑλικῶς σεαυτὸν
καλλιέρημα θεῖον
προσήνεγκας ἀσκήσει,
πάτερ Ἡσύχιε.

heirm. α΄ EE 37, n. 51, Cosmae

9 Apoc. 14,4

Ὑπεραρθεὶς
σὺ τῶν ἐνύλων
ἁπάντων, σοφέ,
τῷ τῶν ἀΰλων ἔρωτι,
ὡς κρίνον εὔοσμον
τοῦ ἀγροῦ τῆς σοφίας,
τῆς γνώσεως τὴν χάριν,
πάτερ, μυρίζεις ἡμῖν.

Ἡ καθαρὰ
σοῦ νῦν καρδία
Ἡσύχιε,
θεολογίας ἔβλυσεν
κρουνούς, ἀρδεύοντας
τὰς ἐν δίψῃ καρδίας,
ἐκλιπούσας τῆς θείας,
παμμάκαρ, γνώσεως.

θεοτ. * Καινοπρεπῆ
τόκον ξενίζεις,
ἀνύμφευτε·
f. 6ᵛ ὁ γὰρ ‖ πατρὶ συνάναρχος
καὶ θείῳ πνεύματι
συναΐδιος Λόγος
ἐκ σοῦ ἐσωματώθη,
συναλοιφὴν μὴ παθών.

ᾠδὴ γ΄. *Στειρωθέντα μου τὸν νοῦν*

Σὺ ἐν γνόφῳ ὑποδὺς
ἀπορρήτων τῆς Γραφῆς
τὰς πλάκας, πάτερ,
τὰς τῆς γνώσεως ἡμῖν
ἀναπτύξας, ἐμφανῆ
πάντα ἑρμήνευσας.

33-40 θεοτ. MR VI, 313 34 ξενίζεις] καινίζεις MR 37 ἐν θείῳ MR
40 συναλοιφὴν μὴ παθών] χωρὶς τροπῆς καὶ φυρμοῦ MR
heirm. γ΄ EE 43, n. 57, Andreae

Вторая песнь Αληθεινα τα εργα

Της γνώσεως ημίν* εν τω δακτύλω* ετράνωσας*
την γραφήν Θεομάκαρ.

Διεκύωσας σαφώς* τη θεία γνώσει* του πνεύματος*
εις τα βάθη εμφρόνως

Αρρητων εννοιων* σημάντωρ ωφθης* Ησύχιε*
Θεολόγε τοις πάσιν

Υμνήσωμεν πιστοί* το Ησυχίου* μνημόσυνον*
ευκλεώς εκτελούντες.

Μυστήριον σεπτόν* εμπεφανερωμένον* ο τόκος σου*
ουπερ θέας ωφθη

Ὑψουμένην τὴν ὀφρὺν
τῶν αἱρέσεων, σοφέ,
σφενδόνῃ τῆς σῆς
θεολόγου φθογγῆς,
ὡς Δαυὶδ τὸν Γολιάθ,
πάτερ, κατέρραξας.

Χάρις χείλεσι τοῖς σοῖς
ἡ χυθεῖσα τοῦ Θεοῦ,
τὰ Νεστορίου
κατεδάφισεν εἰς γῆν
τὸν λαλάνης, ὡς τὸ πρίν,
πύργον, Ἡσύχιε.

θεοτ. * Ἡ χωρήσασα γαστρὶ
τὸν ἀχώρητον παντί,
δυσώπει τοῦτον
τοῦ ῥυσθῆναι ἡμᾶς
ἐκ παγίδος θηρευτοῦ,
τοὺς ἀνυμνοῦντάς σε.

ᾠδὴ δ'. *Τὴν ἐκ παρθένου σου γέννησιν*

⟨Ι — — — — — — —
— — —́ — — —́ —
— — —́ — — — —́
— — — —́ — — —́ —
— — — —́ —
— — — — —́ —
— — —́ — — —́ —
— — —́ —
— — —́ — — — —́⟩

Οὐρανοΰφαντον εἴληφας
τὸν χιτῶνα, παμμάκαρ,
τῆς σοφίας τοῦ Θεοῦ

59-64 θεοτ. NS 28 (1933) 402
heirm. δ' ΕΕ 43, n. 57, Andreae vv. 65-73 desiderantur

καὶ τῆς Γραφῆς τὴν ἀσάφειαν
διερμηνεύσας,
γνώσεως τῆς θείας
στολισμὸν τοῖς ἀνθρώποις,
θεολόγε,
περιέθηκας τερπνόν.

Ὑψηγορῶν τοῖς διδάγμασιν,
ἐξ ἀβύσσου σοφίας
ἄλλην ἄβυσσον ἡμῖν
γλυκέων ῥείθρων ἀνέβλυσας
θεολογίας,
πάτερ, ἐκ τῆς ἔνδον
f. 7 ‖ θεορρύτου πηγῆς σου,
καὶ ποτίζεις
πόμα γνώσεως ἡμᾶς.

ᾠδὴ ε'. *Τῆς νυκτὸς διελθούσης*

Νευργῶν τῆς καρδίας
τὴν ἄρουραν, πάτερ,
τῷ τῆς ἐγκρατείας ἀρότρῳ σου,
παρθενίας τὸν στάχυν,
καρπὸν εὐθηνοῦντα
ἤνεγκας, Ἡσύχιε τίμιε.

Ὑπερόριον, πάτερ,
τῆς πλάνης τὸ δόγμα
τῇ θεολογίᾳ σου ἔδειξας,
ἐκ γλυκέων λογίων
πιὼν τῆς σοφίας,
ἄλμην ἀπεπώσω αἱρέσεων.

Νοερῶς ἐμβατεύων
ταῖς ἄνω χορείαις,
ἵλεῳ ἡμᾶς νῦν κατόπτευε,

86 γλυκείων cd. Post v. 91 lacuna nonnullos versus nobis subtrahit.
heirm. ε' ΕΕ 41, n. 55, Joannis.

τοὺς τὴν σὴν ἐκτελοῦντας
φερέσβιον μνήμην,
θεολόγε πάτερ Ἡσύχιε.

ᾠδὴ ς΄. *Ὡς ὁ προφήτης πάλαι*

Βυθὸς σοφίας λόγων
ἐδείχθης, ἱερώτατε,
Γραφῆς τὴν ἀσάφειαν
σαφηνίσας ἐν τοῖς λόγοις σου,
καὶ πάντας ἐφώτισας,
θεουργέ, τῇ θείᾳ γνώσει.

Ὁ γλυκασμὸς τῶν λόγων
τῆς σοφίας σου, πάνσοφε,
ἡδύνθη τῷ λάρυγγι
τῆς ψυχῆς ἡμῶν ἐν γνώσει Θεοῦ,
Ἡσύχιε τίμιε,
ὑπὲρ μέλι καὶ κηρίον.

f. 7ᵛ ‖ Ἡ καθαρὰ ψυχή σου
ὡς δοχεῖον τοῦ πνεύματος
ὑπάρχουσα, πάνσοφε,
ἐξηρεύξατο, διδάσκουσα
πιστῶν τὰ συστήματα,
ἀγαθὸν καὶ θεῖον λόγον.

ᾠδὴ ζ΄. *Τὰ Χερουβὶμ μιμούμενοι*

Σὺ ποταμοὺς ἐξήρανας
τῶν παθῶν, θεολόγε
Ἡσύχιε, γενναίως

heirm. ς΄ EE 44, n. 58, Germani
heirm. ζ΄ EE 43, n. 57, Andreae

116-121 Ps. 118, 103.

ἐν τῷ πυρὶ τῆς προσευχῆς,
καὶ ῥείθροις τῶν δακρύων
ἀρδεύσας τοὺς αὔλακας
τῆς καρδίας,
καρποὺς τῆς ἀπαθείας Χριστῷ
προσήνεγκας σοφῶς,
τῷ δεδοξασμένῳ εἰς πάντας τοὺς αἰῶνας.

Ὡς καθαρεύσας, ὅσιε,
τῶν παθῶν τῆς ἀχλύος,
ἐνέκυψας εἰς βάθη
τοῦ θείου πνεύματος σοφῶς·
διὸ καὶ ἀποστάζει
τὸ μέλι τῆς γνώσεως
σοῦ ἡ γλῶσσα,
λιπαίνουσα τοὺς νόας ἡμῶν,
Ἡσύχιε σοφέ,
τῆς θεολογίας κεκαθαρμένον στόμα.

Τὸ τῆς Γραφῆς δυστέκμαρτον
κύτος διαπεράσας,
τῆς γνώσεως τῇ ῥάβδῳ,
καθοδηγεῖς ἀβρόχως
τοὺς ἀναπτύσσοντάς σου
τὰ θεῖα διδάγματα
τοῦ κυρίου
ἐν τῇ ὁδῷ τῆς πίστεως,
Ἡσύχιε σοφέ,
τῆς θεολογίας κεκαθαρμένον στόμα.

ᾠδὴ η΄. *Τὸν ἐν τῇ βάτῳ Μωσῇ*

Ὁ ἱερώτατος νοῦς
τῆς Γραφῆς ἀναπτύξας
τὸ ἀπέραντον βάθος
τοῖς νοήμασιν, ἡμᾶς

heirm. η΄ EE 43, n. 57, Andreae.

f. 8 Ἡ||σύχιος ὁ μέγας
πρὸς γνῶσιν θείαν πιστῶς
καθοδηγεῖ τοῖς λόγοις.

Κεκαθαρμένῳ τῷ νῷ
τῆς Γραφῆς ἐμβατεύσας
τὰ ἀπόρρητα, πάτερ,
ἀνεκάλυψας ἡμῖν,
Ἡσύχιε, ἐνθέως
τὰ κεκρυμμένα αὐτῆς
ἐν ἀληθείας γνώσει.

Λύρα σοφίας Θεοῦ
τῇ καθάρσει τοῦ βίου
καὶ πυκνῇ ἀναπτύξει
τῆς Γραφῆς ἀναδειχθείς,
ἐγένου ἐν τῷ κόσμῳ
τῶν ἀπορρήτων, σοφέ,
ἔνθεος ὑποφήτης.

ᾠδὴ θ΄. *Ὑπὲρ πᾶσαν ἔννοιαν*
λόγῳ τὸν Λόγον ἐν γαστρί,
παρθενομῆτορ ἄχραντε,
συλλαβοῦσα ἀφράστῳ τρόπῳ,
διπλοῦν αὐτὸν τέτοκας
— θεὸς καὶ ἄνθρωπος γὰρ
ὑπάρχει ὁ σαρκωθείς —
διό σε πάντες μεγαλύνομεν.

Ἐν τοῖς θείοις δόγμασιν
ὡς ἐν ἀβύσσῳ νοητῶς
εἰσδύσας, ἱερώτατε,
τὸν ἐκεῖσε μαργαρίτην
θεῖον κρυπτόμενον εἵλκυσας·

heirm. θ΄ ΕΕ 42, n. 56 Andreae 2 heirm. ἐν γαστρί] τοῦ πατρὸς ΕΕ 7 ὁ ΕΕ om.

182 Matth. 13,46

διό σε, πάτερ σοφέ,
τῆς γνώσεως ὀφθαλμὸν
ἀξίως πάντες ὀνομάζομεν.

Οὐρανίῳ χάριτι
καταυγασθείς σου τὴν ψυχήν,
ἱερουργὲ Ἡσύχιε,
τὰ νοήματα Γραφῆς τῆς θείας
μελέτῃ κατείληφας
τῆς ἀληθείας, σοφέ,
καὶ γνώσεως δακτύλῳ
πανσόφως ταῦτα διεχάραξας.

Συναφθεὶς τῷ πνεύματι,
τῆς θείας καθαρότητος
ἐπληρώθης ἐντεῦθεν, πάτερ·
f. 8v || διὸ τοῦ ποιμνίου σου
ὑπερασπίζου θερμῶς
καὶ τοὺς τελοῦντας τὴν σὴν
ἁγίαν μνήμην περιφύλαττε.

θεοτ. Σωτηρίας πύλην σε,
παρθενομῆτορ, εὕρομεν·
τὸν σωτῆρα γὰρ τοῦ κόσμου Χριστὸν
ἀφθόρως ἐκύησας,
ἐλπὶς τοῦ κόσμου παντός·
διό σε πίστει ὑμνῶν
καὶ θείῳ φόβῳ τὴν ᾠδὴν ἐκπληρῶ.

202-203 σωτηρίας πύλην σε [οἱ διὰ σοῦ σωθέντες], παρθενομῆτορ, versum interpolatum metri causa expunximus

IN SANCTUM CONONEM

Synaxarium, 513: ..... Οὗτος ὑπῆρχεν..... ἐκ κώμης τῆς λεγομένης Βιδανῆς, ἀπεχούσης ὀκτωκαίδεκα σταδίους τῆς Ἰσαύρων πόλεως. Συζευχθεὶς δὲ γυναικὶ οὐ μόνον οὐκ ἐπλησίασεν αὐτῇ, ἀλλὰ καὶ παρθενεύειν αὐτὴν ἔπεισε καὶ τοῦ λοιποῦ συνῆν αὐτῇ ὡς ἀδελφῇ· εἰς τοῦτο γὰρ προήχθη ὑπὸ τοῦ λαχόντος αὐτὸν ποιμαίνειν ἀρχιστρατήγου Μιχαήλ. Ὅστις αὐτῷ ἐπιστὰς τὴν εἰς Χριστὸν ἐδίδαξε πίστιν καὶ τὸ τῆς ἁγίας Τριάδος ὑπέθηκεν ὄνομα..... δι' οὗ ὁ θεῖος μάρτυς καὶ τοὺς γονεῖς ἐβάπτισεν· ..... Ἐπεὶ δὲ τοῖς εἰδωλολάτραις ἀνθίστατο λέγων « Εἷς ἐστιν Θεός, ὁ Χριστός, ὁ υἱὸς τοῦ Θεοῦ καὶ οὐκ ἄλλος », ἐκεῖνοι δὲ ἔλεγον τοὺς οὓς ἐκεῖνοι σέβονται εἶναι, συνέθεντο ὅτι· « ἐπεὶ μέλλομεν ἀπελθεῖν ἐν τῷ τόπῳ τῷδε, ἐν ᾧ ἵστανται οἱ θεοὶ ἡμῶν, τοῦ θῦσαι αὐτοῖς· ἐστὶ δὲ πόρρωθεν τὸ ἄντρον· οἷος ἐξ ἡμῶν προλάβῃ καὶ ἀπελθεῖν, ἐκεῖνος κηρύσσει τὸν ἀληθινὸν Θεὸν ἡμῶν ». Καὶ δὴ γενομένου προέλαβεν ὁ Κόνων· καὶ στραφεὶς προσυπήντησε τοῖς εἰδωλολάτραις, καίτοι ἐκείνου πεζοῦ ὄντος, τῶν δὲ ἑλλήνων ἐφίππων. Ἔνθα πολλῶν τὸ συμβὰν θαυμαζόντων, τῶν δὲ ἑλλήνων ἀναισχυντότερον ἔτι διακειμένων καὶ δεησάντων παρ' αὐτοῦ τοῦ ξοάνου μαθεῖν τίς ἐστι Θεὸς μείζων καὶ τοῦ ἁγίου κελεύσαντος αὐτῷ ἐκ τῆς ἱδρύσεως κατελθεῖν καὶ μετὰ τούτου πεῦσιν προσαγαγόντος κατελθεῖν τε λέγεται τὸ δαιμόνιον. Καὶ πρὸς τοῖς ποσὶν γενομένου τοῦ ἁγίου ἐβόησεν· « Εἷς ἐστι Θεὸς ὁ Χριστὸς ὁ ὑπὸ σοῦ εὐαγγελιζόμενος ».....

Paris. gr. 1563 = Pb, ff. 12-15
Paris. gr. 341 = Pq, pp. 25-30
Paris. gr. 1574 = Pu, ff. 8v-10v
Vat. gr. 1510 = Vs, ff. 15v-17v

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Ὑμνῶ Κόνωνα μάρτυρα στεφηφόρον. Ἰωσήφ.

Ἦχος πλ. β'.

ᾠδὴ α'. *Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραὴλ*

f. 12v || Ὑμνολογίαις σε θείαις τὸν τοῦ Χριστοῦ
εὐφημῆσαι μάρτυρα
καὶ στερρὸν ἀγωνιστὴν

heirm. α' EE 159, n. 224, Joannis 2 εὐφημήσω Vs 3 προθυμούμενον πιστῶς Pq Vs

τὴν ἐμὴν διάνοιαν φωτὶ
τῷ ἐν σοὶ περιφανῶς, μάρτυς, καταύγασον.

Μεμυημένος τὰ θεῖα ἀγγελικαῖς,
μάκαρ, εἰσηγήσεσιν,
ὥσπερ ἄγγελος ἐν γῇ
ἀληθῶς διέπρεψας, σαρκὸς
τὰς ὀρέξεις χαλινῶν καὶ καλλυνόμενος.

Νόμους τοὺς θείους τηρήσας, ἑλληνικὴν
ἀνομίαν, ὅσιε,
ἐβδελύξω προφανῶς
καὶ πολλοὺς προσήγαγες Θεῷ,
διδαχαῖς καὶ ἱεροῖς πιστώσας θαύμασιν.

θεοτ. Ὡραιωθεῖσα τῷ κάλλει τῶν ἀρετῶν,
τὸν ὡραῖον τέτοκας
ὑπὲρ πάντας τοὺς βροτούς,
ταῖς αὐτοῦ, πανάμωμε, ἡμᾶς
ὡραιότησι σοφῶς καθωραΐζοντα.

ᾠδὴ γ'. *Οὐκ ἔστιν ἅγιος ὡς σὺ*

Κοσμήσας θείαις ἀρεταῖς,
ὅσιε, τὴν ψυχήν σου,
οἰκητήριον ταύτην
τοῦ πατρὸς καὶ τοῦ υἱοῦ
καὶ πνεύματος ἀληθῶς
τοῦ ἁγίου,
μάρτυς, ἀπετέλεσας.

Οἱ πάλαι πλάνης τῷ βυθῷ
πεπτωκότες ἀθλίως,

6 ἀγγελικῶς Vs 9 διέλαμψας Vs 11 ἑλληνικὴν] ἀγγελικὴ[illegible] 12 ὅσιε] ἔνδοξε Vs 13-15 διδαχαῖς καὶ ἱεραῖς / καὶ πολλοὺς προσήγαγες [illegible]ῷ / ἐβδελύξω προφανῶς τῇ μεσιτείᾳ σου Vs 20 ὡραιότησι] μεσιτείαις Vs σοφ[illegible]σαφῶς Pq Vs
heirm. γ' EE 159, n. 224, Joannis 22 v. om. Vs 28 [illegible]ης πάλαι Pq

23 II Cor. 5,2.

εἰς περίβλεπτον ὕψος
ὑψηλαῖς σου διδαχαῖς
ἀνάγονται τηλαυγῶς,
μάρτυς Κόνων,
ἀνυμνολογοῦντές σε.

Ναὸς γενόμενος Θεοῦ
ἐπικλύσεσι θείαις,
καταρράσσεις, παμμάκαρ,
ἐπιστὰς ἐν τῷ ναῷ,
τὸ ξόανον, ὁδηγῶν
πλανωμένους
θείαν πρὸς ἐπίγνωσιν.

f. 13 θεοτ. ‖ Ὁ μόνος ἅγιος ἐκ σοῦ
τίκτεται, παναγία,
ὑπὲρ νοῦν τε καὶ λόγον
ἁγιάζων τοὺς βροτούς,
ταῖς ἐναγέσιν ἐχθροῦ
συμβουλίαις,
πάθεσι δουλεύοντας.

Κάθισμα.

Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ Λόγου*

Τῇ Χριστοῦ πανοπλίᾳ θωρακισθείς,
τῶν δαιμόνων ἐδείχθης ὀλοθρευτὴς
καὶ γέγονας ἔρεισμα
τῶν πιστῶν ἀκαθαίρετον·
ἀνεπίβατον ἔχων
τὸν πύργον τῆς πίστεως,
πρὸς τὸ ὕψος αἴρεις
ἡμᾶς τῶν θαυμάτων σου·

heirm. καθ. MR IV, 31; Post κάθ. Pb tradit: θεοτ. Πειρασμοῖς πολυπλόκοις περιπεσὼν... MR IV, 269, σταυροθεοτ. Τὸν ἀμνὸν καὶ ποιμένα καὶ λυτρωτὴν... MR IV, 5; Pu idem κάθ., θεοτ., et σταυροθεοτ. praebet; in Pq vero diversum κάθ. invenimus cuius initium sonat Ἐκ βρέφους τῷ θεῷ κολληθεὶς... MR IV, 25

ὅθεν καὶ τῆς νίκης
ἐκ Θεοῦ τοὺς στεφάνους
ἀξίως ἀπείληφας,
μάρτυς Κόνων πολύαθλε·
διὰ τοῦτο βοῶμεν σοι·
« πρέσβευε Χριστῷ τῷ Θεῷ
⟨τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι
τοῖς ἑορτάζουσι πόθῳ
τὴν ἁγίαν μνήμην σου »⟩.

f. 13v ᾠδὴ δ'. *Χριστός μου δύναμις*

Ναοὺς ἠδάφισας
ἀθέων, ἅγιε,
καὶ θεοὺς ἀπωλείᾳ
διηνεκεῖ,
μάρτυς, παραδέδωκας
θαυματουργῶν καὶ ἐκτελῶν,
ἀξιάγαστε, τεράστια.

Ἁγίως, ὅσιε,
πορευομένῳ σοι,
τὸ δαιμόνιον φῦλον
ὁ τοῦ Θεοῦ
Λόγος καθυπέταξε
καὶ σὲ θαυμάτων ταῖς πολλαῖς
ἐπιδείξεσιν ἐδόξασεν.

Μεγάλως στέργων σε
ὁ ὑπεράγαθος,
Μιχαὴλ σοι τὸν μέγαν
παιδαγωγὸν
δίδωσι μυοῦντά σε,
μέγιστε Κόνων, ἐμφανῶς
τὰ παμμέγιστα μυστήρια.

15-17 conclusio heirm.
heirm. δ' EE 159, n. 224, Joannis 50 ἀθέων] ἁγίων Vs 61 σὲ] τῶν Pq Vs 62 ἐδόξασας Pq Vs

θεοτ. Ἁγία δέσποινα,
ἡ τὸν πανάγιον
σωματώσασα Λόγον,
ἁγιασμὸν
τῇ ψυχῇ μου δώρησαι,
χειραγωγοῦσά μου τὸν νοῦν
ἀνοδίαις κρημνιζόμενον.

ᾠδὴ ε'. *Τῷ θείῳ φέγγει σου, ἀγαθέ,*

Ῥοαῖς αἱμάτων σου ἱερῶν
χλαῖναν σεαυτῷ μαρτυρικὴν
περιφανῶς φοινιξάμενος,
μάρτυς γενναιόφρον, οἰκεῖς γηθόμενος
τὰς ἄνω κατοικίας
καὶ τὰς λαμπρότητας.

Τείνας σε, μάκαρ, ὁ δυσμενής,
ὅλον τεταμένον, πρὸς Θεὸν
τὸν νοῦν, ἀοίδιμε, ἔχοντα,
f. 14 μά||στιξι συγκόπτει, ἐπιβοώμενον
τὸ ὄνομα τὸ μέγα
τοῦ παντοκράτορος.

Ὑπὸ τῆς χάριτος νευρωθεὶς
ἔφερες νιφάδας ἀλγεινῶν,
μαρτυρικῶς κλεϊζόμενος
καὶ τὴν ἀθεΐαν, Κόνων, τροπούμενος
καὶ τῆς ἀθανασίας
καταξιούμενος.

θεοτ. Ῥυσθέντες πάσης προγονικῆς,
ἄχραντε, κατάρας διὰ σοῦ
τῆς εὐλογίας ἐτύχομεν·

heirm. ε' EE 159, n. 224, Joannis 77 ἱερὰν manus posterioris in Vs 78 ἑαυτῷ Vs 80 μάρτυς] καὶ ὡς Vs 83 δυσσεβὴς Vs 86 συγκόψει Pq 90 ἔφερε Pq

ὅθεν εὐλογοῦμεν καὶ μεγαλύνομεν
καὶ πόθῳ σε τιμῶμεν
καὶ μακαρίζομεν.

ᾠδὴ ς'. *Τοῦ βίου τὴν θάλασσαν*

Ἀστράψας ὡς ἥλιος
φεγγοβόλοις ἀρεταῖς
καὶ παραδόξοις θαύμασιν
ὑπομονῇ τε ἄθλων πανευκλεῶν,
φωτίζεις τὰ πέρατα,
μεγαλώνυμε μάρτυς, εὐφημοῦντά σε.

Στιγμάτων ἐν κάλλεσιν
ὡραιότατος δειχθείς,
θαυματουργεῖς ἐξαίσια
καὶ πρὸ θανῆς καὶ πάλιν σαρκὸς ἐκστάς,
διώκων νοσήματα
καὶ σοβῶν τὰ τῆς πλάνης, μάκαρ, πνεύματα.

Τὰ πάθη ἰάτρευσον
τῶν ψυχῶν ἡμῶν, σοφέ,
καὶ τῆς σαρκὸς ἀπέλασον
τὰς ἀσθενείας, ἄριστος ἰατρὸς
ἡμῖν τοῖς τιμῶσί σε
ἐκ Θεοῦ δεδομένος, Κόνων ἔνδοξε.

θεοτ. Ἐπέβλεψε κύριος
ἐπὶ σὲ καὶ διὰ σοῦ
ἐπισκοπὴν εἰργάσατο
τοῖς ἀπωσμένοις, ἄχραντε, ἐξ αὐτοῦ·
διό σε, ὡς ἔφησας,
γενεαὶ σῳζομένων μακαρίζομεν.

heirm. ς' EE 159, n. 224, Joannis 103 καὶ om. Pq 106 εὐφημοῦντας Pq Pu Vs 110 σαρκὸς ἐκστὰς] μετὰ ταφὴν Pq Vs 112 σοβῶν τὰ] σβεννύων Vs 116 τὰς ἀσθενείας] τῶν ἀσθενῶν ὡς Vs 124 μακαρίζουσιν Vs

ᾠδὴ ζ'. *Δροσοβόλον μὲν τὴν κάμινον*

f. 14v || Φῶς σοι ἄδυτον ἀνέτειλε μισήσαντι
παθῶν τὸ σκότος, ὅσιε,
εὐφροσύνη τε
διεδέξατό σε τὸν καλὸν
ἀγῶνα τελέσαντα σπουδῇ·
διὸ μνημόνευε ἡμῶν
παρεστηκὼς τῷ Χριστῷ.

Ἡ καρδία σου πραεῖα καὶ τὸ φρόνημα
μέτριον ὤφθη, ὅσιε,
δι' οὗ ὤλεσας
τὰς ἐπάρσεις πάσας τοῦ ἐχθροῦ,
ὑψούμενος θείαις ἀρεταῖς
καὶ θαυμασίοις φοβεροῖς,
Κόνων, μαρτύρων κρηπίς.

Φοβερὸς πᾶσι τοῖς δαίμοσι γεγένησαι,
τούτοις ἐγκελευόμενος
καθυπείκειν σοῦ
ἱεραῖς, θεόφρον, προσταγαῖς,
Θεοῦ σε δοξάζοντος αὐτὸν
ἔργοις καλοῖς ἐπὶ τῆς γῆς,
Κόνων, δοξάσαντα.

θεοτ. Ὁ βουλήματι τὰ πάντα ἐργαζόμενος
σοῦ βουληθεὶς κατῴκησε
τὴν πανάμωμον,
θεοτόκε, μήτραν ἀληθῶς,
ὁ μόνος ἁγίων ἐν βουλαῖς
ἐνδοξαζόμενος Θεός,
ὡς μέγας καὶ φοβερός.

heirm. ζ' EE 159, n. 224, Joannis 125 φῶς σε ἄδυτον ἀνέτειλε μισήσαντα Vs 126 ὅσιε] ἔνδοξε Vs 129 σπουδῇ] βοᾶν Vs 130-131, 137-138 εὐλογητὸς 〈εἶ ὁ θεὸς / ὁ τῶν πατέρων ἡμῶν〉 Vs 133 ὅσιε] πάνσοφε Vs 135 τὰς om. Pu 143 δοξάζοντος αὐτὸν] δοξάσαντος ἀεὶ Vs 145 δοξάζοντα Vs 151-152 εὐλογημένη ἡ θεὸν / σαρκὶ κυήσασα Vs

132 Matth. 11,29.

ᾠδὴ η'. *Ἐκ φλογὸς τοῖς ὁσίοις δρόσον ἐπήγ[illegible]ς*

Ῥωμαλέως ἀντέστης τῷ ματαιόφρονι,
οἰομένῳ σε πείθειν σέβας ἀλλόκοτον
νέμειν, ἀθλητά,
τοῖς ἐκείνου βδελύγμασιν·
ὅθεν ὡς νομίμως ἀθλήσας ἐδοξάσθης.

Οἱ δαιμόνων πληγέντες ταῖς ἐπιθέσεσι,
προσφοιτήσεσι θείαις
σοῦ θεραπεύονται
καὶ τῶν λυπηρῶν ἀπολύτρωσιν δέχονται,
ἀνυμνολογοῦντες τὴν χάριν σου, θεόφρον.

Νοσημάτων παντοίων ῥῶσιν ἀντλήσατε,
τῇ σορῷ τοῦ ὁσίου πίστει πελάζοντες·
βρύει γὰρ σαφῶς
τῇ τοῦ πνεύματος χάριτι
f. 15 καὶ τὰς ἀναβλύ||σεις τὰς τῶν παθῶν ξηραίνει.

θεοτ. Ἱκεσίαν τῷ κτίστῃ Θεῷ προσάγαγε
τὰς ψυχὰς ἡμῶν σῶσαι, θεοχαρίτωτε,
καὶ τῆς τῶν παθῶν
συνοχῆς ἡμᾶς ῥύσασθαι
καὶ τῆς τῶν κακούργων ἀνθρώπων ἐπηρείας.

ᾠδὴ θ'. *Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον*

Ὡς ναῦς ὡράθης καθυποπλέουσα
τὸ κοσμικὸν
ἀβρόχως, θεοφόρε, κλυδώνιον,
τῶν καλῶν τὰ ἀγώγιμα σῴζουσα

heirm. η' EE 159, n. 224, Joannis 153 ρωμαλέος Vs [illegible] δν ὑπερυψοῦμεν 〈εἰς πάντας τοὺς αἰῶνας〉 Vs 158 ἐπιδόσεσι Vs 162 [illegible] χάριν σου, θεόφρον] χριστὸν εἰς τοὺς αἰῶνας Vs 167 δν ὑπερυψοῦμεν 〈εἰς πάν[illegible] τοὺς αἰῶνας〉 Vs 171 ἐνοχῆς Pq Vs 172 ἵνα σε δοξάζω εἰς πάντας το[illegible]αἰῶνας Vs
heirm. θ' EE 159, n. 224, Joannis 176 ἀγώγιμα] ἀγών[illegible] Pq Vs

πρὸς τοὺς τερπνοὺς λιμένας
τῆς ἀναπαύσεως
καὶ τῆς βασιλείας τοῦ Θεοῦ
καὶ τῆς λαμπρότητος.

Σταυρὸν ὡς θώρακα ἐνδυσάμενος,
τὰς τοῦ ἐχθροῦ,
παμμάκαρ, ἀπεγύμνωσας φάλαγγας
καὶ ποσί σου ὡραίοις ἐδούλωσας,
δοῦλός τε τοῦ δεσπότου
γνήσιος γέγονας,
τοὺς δεδουλωμένους τῷ ἐχθρῷ
ἀπολυτρούμενος.

Ἡμῶν τῶν πόθῳ ἀνευφημούντων σε
μνείαν ποιοῦ,
Χριστῷ στεφηφορῶν παριστάμενος
σὺν ταῖς ἄνω ἀπείροις δυνάμεσιν,
ὅπως ταῖς προσευχαῖς σου
εὕρωμεν ἔλεος
καὶ τῶν δυσχερῶν ἀπαλλαγήν,
Κόνων πανεύφημε.

θεοτ. * Φωτὶ τῷ σῷ με, παρθένε, φώτισον
τὸν τῇ νυκτὶ
ἀεὶ τῆς ῥαθυμίας κυκλούμενον
καὶ πρὸς γῆν νενευκότα καὶ πράττοντα
ἅπασαν ἁμαρτίαν ,
γνώμης στρεβλότητι,
ὅπως σε σῳζόμενος ὑμνῶ
τὴν πολυύμνητον.

---

181 ἐνδυσάμενος] ὁπλισάμενος Vs 189 πόθῳ] πίστει Pu 192 δυνάμεσιν] στρατεύμασιν Pu 197-204 θεοτ. A. Rocchi, Paracletica Deiparae..., Bessarione s. II, vol. 5 (1903) 183 203-204 ὅθεν [σε] σωζόμενος ἀεὶ / μεγαλύνω σε Vs

6 MART. *CANON IX*

IN SANCTUM CONONEM

Crypt. Δ.α. XXII = Dc, ff. 9-11

Ὁ κανών.

Ἦχος γ′.

ᾠδὴ α′. *Τῷ ῥυσαμένῳ τὸν Ἰσραὴλ ἐκ δουλείας*

Οἱ τὴν ἐτήσιον ἐπιτελοῦντές σου μνήμην,
ἀθλοφόρε ἔνδοξε μεγαλομάρτυς,
ταῖς εὐχαῖς σου ἀξιωθείημεν τυχεῖν
τῆς μετὰ σοῦ παραστάσεως καὶ δόξης.

Πρὸς τὴν σωτήριον καὶ ἀκηλίδωτον πίστιν
ἐπιστρέψαι, ἔνδοξε, ἐπιποθήσας,
τὸν ἀρχάγγελον τοῦ Χριστοῦ παιδευτὴν
καὶ βαπτιστήν σου ἐνθέως ἐκληρώσω.

Τοὺς κατὰ σάρκα σου γονεῖς, ἀθλοφόρε,
ἀναγεννήσας χάριτι καὶ ἀληθείᾳ,
πατὴρ αὐτῶν ἀληθῶς πνευματικὸς
καὶ παιδευτὴς πρὸς τὴν πίστιν ἀνεδείχθης.

f. 9ᵛ θεοτ. ‖ Τὴν μητέρα σου, Χριστέ, θεοτόκον
οἱ πιστοὶ δοξάζομεν ἀκαταπαύστως,
ὡς πρεσβεύουσαν ὑπὲρ πάντων ἡμῶν
τοῦ λυτρωθῆναι ἡμᾶς ἐκ τῶν κινδύνων.

---

heirm. α′ EE 78, n. 110, Germani heirm. α′, γ′, δ′, ε′, [illegible] integros refert cd., quorum textus minime ab EE differunt, sed troparia multiplices metricas inaequalitates queruntur

ᾠδὴ γ'. *Ἐστερεώθη*

Οὐκ ἀπ' ἀνθρώπων,
μάρτυς, τὴν κλῆσιν ἔχων,
ἀλλ' ἐκ Θεοῦ σωτῆρος δι' ἀρχαγγέλου·
ἀγγελικῶς καὶ διέλαμψας,
Κόνων ἔνδοξε.

Τῆς τῶν Ἰσαύρων
χώρας φωστὴρ ὑπάρχων,
τῇ ὑφηλίῳ πάσῃ, ὥσπερ ἀκτῖνας
τῶν ἰαμάτων χαρίσματα
ἀναλάμπεις ἀεί.

Καὶ τῆς ἀνδρείας
ὅπλοις καθωπλισμένος
καὶ σωφροσύνης πλούτῳ κεκοσμημένος,
δικαιοσύνῃ συνέζησας,
φρόνησιν ἔχων Χριστοῦ.

Ἐν τῇ στερρᾷ
τῆς πίστεως, μάρτυς, πέτρᾳ
ἀκλονήτως ἔστης ἐν προσευχαῖς σου,
καὶ πύργος ἄσειστος ἔμεινας
ταῖς προσβολαῖς τοῦ ἐχθροῦ.

ᾠδὴ δ'. *Εἰσακήκοα*

Σὲ τὸ καύχημα
τῆς τῶν Ἰσαύρων χώρας τιμῶμεν,
ὡς τιμήσαντα τὴν πάνσεμνον
καὶ σωτήριον πίστιν.

f. 10 ‖ Λιπαινόμενος
τῇ δαψιλείᾳ τῆς ἐγκρατείας,
κατελέπτυνας τὴν ἄθεον
τῶν εἰδώλων ἀπάτην.

heirm. γ' EE 78, n. 110, Germani
heirm. δ' EE 78, n. 110, Germani

Ἀγαλλίασις
προφητικῶς καὶ ἐν τῇ νηστείᾳ
ἐπεσκίασε τῇ σῇ κεφαλῇ,
Κόνων, μάρτυς κυρίου.

θεοτ. * Μήτηρ ἄχραντε
εὐλογημένη, ἁγνὴ παρθένε,
τοὺς ὑμνοῦντάς σε περίσῳζε
ἀπὸ πάσης ἀνάγκης.

ᾠδὴ ε'. *Τὴν σὴν εἰρήνην δὸς ἡμῖν*

Ἐκ στελέχους, ἔνδοξε,
τῆς ἀσεβείας ἐκφύς,
μετεκεντρίσθης σοφῶς
εἰς καλλιέλαιον·
ὅθεν ἀναβρύεις
καὶ πιαίνεις ἐν ἐλαίῳ
τὸν λαὸν τοῦ Χριστοῦ.

Τὰς τῶν δαιμόνων φάλαγγας,
ἀθλοφόρε Χριστοῦ,
τῇ θεϊκῇ δυναστείᾳ
τροπωσάμενος,
τῆς τούτων πονηρίας
ἠλευθέρωσας ἀνθρώπους
καὶ τῆς βλάβης αὐτῶν.

Τοὺς τῆς καρδίας πόδας σου
ὑποδησάμενος
ἑτοιμασίᾳ τῆς πίστεως
εὐαγγελίου Θεοῦ,
τὴν τοῦ διαβόλου
πολυκέφαλον μανίαν
κατεπάτησας.

heirm. ε' EE 78, n. 110, Germani 49-52 θεοτ. [illegible] II, 602
49 Μήτηρ] Μῆτερ MR

55 Rom. 11,24.

θεοτ. Τὴν εἰς Δαυὶδ βλαστήσασαν
ἀνυμνήσωμεν,
ὡς τὸν υἱὸν τοῦ Θεοῦ
συλλαβοῦσαν γαστρὶ
καὶ σαρκὶ τεκοῦσαν
καὶ μείνασαν παρθένον
μετὰ τόκον ἁγνήν.

ᾠδὴ ϛ΄. *Τοὺς εἰς τὰ τέλη τῶν αἰώνων*

Ἐν τῷ πελάγει, ἀθλοφόρε,
f. 10v τῆς τῶν εἰδώλων ‖ τρικυμίας
χειμαζομένους καθορῶν
τοὺς λαοὺς τοὺς ἐνεγκόντας σε,
ὡδήγησας πρὸς ὅρμον,
« σῶσον », βοῶν,
« ὁ σώσας ἐκ τοῦ θηρὸς τὸν προφήτην ».

Ἐν τῷ λειμῶνι τῶν μαρτύρων
γεωργίᾳ τῇ τοῦ πνεύματος
ἐμφυτευθεὶς καὶ ῥιζωθείς,
τοὺς καρποὺς τῶν ἰαμάτων σου
προβάλλεις καὶ κραυγάζεις·
« σῶσον, σωτήρ,
ὡς ἔσωσας τοῦ θηρὸς τὸν προφήτην ».

Τοῦ μαρτυρίου σου τὸν δρόμον
τελειώσας, Κόνων ἔνδοξε,
καὶ τὸ βραβεῖον εὐσεβῶς
κομισάμενος κατὰ τοῦ πονηροῦ,
ἐβόας παρρησίᾳ·
« σῶσον, σωτήρ,
ὡς ἔσωσας τοῦ θηρὸς τὸν προφήτην ».

θεοτ. * Χαῖρε, πύλη ἀδιόδευτε·
χαῖρε, βάτε ἀκατάφλεκτε·

heirm. ϛ΄ EE 78, n. 110, Germani 102-108 θεοτ. MR VI, 116

χαῖρε, λυχνία φωτεινή·
χαῖρε, ὄρος ἀλατόμητον·
χαῖρε, θεοτόκε,
ἐλπὶς ἀρραγὴς
καὶ τεῖχος τῶν ἐπὶ σοὶ πεποιθότων.

ᾠδὴ ζ΄. *Τὴν ἐν καμίνῳ φλόγα*
κατέσβεσαν οἱ παῖδες
καὶ τὴν οὐράνιον δρόσον
ἐδέξαντο τῇ πίστει.

Ὡς γεωργὸς τῆς ἐνθέου
ὑπάρχων ἀληθείας
καὶ ἀθλοφόρος, εἰδώλων
ἐξέτεμες μανίαν.

Τῇ παναγίᾳ Τριάδι
λατρεύων ἀενάως,
ὑπὲρ τῆς ποίμνης δυσώπει
τῆς πόθῳ σε τιμώσης.

Τοὺς τὴν ἐτήσιον μνήμην
τελοῦντας ἑορτῆς σου,
τῷ σῷ Θεῷ καὶ δεσπότῃ
παράθου ταῖς εὐχαῖς σου.

f. 11 θεοτ. * ‖ Τὴν μετὰ τόκον παρθένον
ἀρρήτως φυλαχθεῖσαν,
ὡς τοῦ κυρίου μητέρα
ὑμνήσωμεν ἀπαύστως.

104 χαῖρε λυχνία φωτεινή] χαῖρε ἡ στάμνος ἡ χρυσῆ MR
heirm. ζ΄ EE 77, n. 109, Andreae (4 post πίστει EE [illegible] εὐλογητὸς εἶ ὁ θεὸς / ὁ τῶν πατέρων ἡμῶν) 114 ἀεννάως 121-[illegible] θεοτ. MR VI, 117

ᾠδὴ η'. *Τὸν ἐν φλογὶ*
τοῖς παισὶ τῶν Ἑβραίων

Τὸν τοῦ Χριστοῦ
ἀριστέα τιμῶμεν
καὶ ἀθλοφόρον,
ὡς καθαιρέτην τῆς πλάνης,
τὸν ἔνδοξον Κόνωνα,
σὺν ἀγγέλοις ὑμνοῦντες
καὶ ὑπερυψοῦντες
Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὡς δι' ἀγγέλου
τὴν ἀμώμητον πίστιν
μεμυημένος
τοὺς ἀθέους φωτίσας,
κραυγάζειν ἐδίδαξεν·
« ἱερεῖς εὐλογεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

Ἐν τῷ καιρῷ
τῶν βασάνων ὁ μάρτυς
ἀνακηρύττων
τὴν ἁγίαν Τριάδα
εὐσεβῶς ἐδίδαξεν·
« ἱερεῖς εὐλογεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

θεοτ. Χαῖρε, σεμνή,
δυσανάβατον ὕψος
τοῖς τῶν βροτῶν ὀφθαλμοῖς·
χαῖρε, ὄμμασι νόων
βάθος δυσθεώρητον·
χαῖρε, μήτηρ παρθένε
καὶ θεοκυῆτορ,
εὐλογημένη Μαρία.

heirm. η' EE 78, n. 110, Germani 139-140, 147-148 vv. om. cd. 149-151 idem θεοτ. in canone IV, η', invenies.

ᾠδὴ θ'. *Κεχαριτωμένη, χαῖρε,*

Ἐν τῇ ἐνδόξῳ πανηγύρει
τοῦ θείου ἀθλοφόρου
δοξολογήσωμεν Χριστὸν
τὸν τοῦτον στεφανώσαντα.

Τὴν ἐζοφωμένην πλάνην
τὴν τῶν εἰδώλων, σοφέ,
ἐξαφανίσας ὄντως
φωτίζεις τὰ πέρατα.

Ὡς ἀριστεὺς ἀνδρεῖος
τοῦ βασιλέως Χριστοῦ
τὴν τῶν εἰδώλων πονηρὰν
κατέτρωσας φάλαγγα.

θεοτ. Δέχου τὰς ἡμῶν δεήσεις,
παρθένε θεοτόκε,
καὶ ἐκ παντοίων πειρασμῶν
ῥῦσαι τοὺς σὲ μεγαλύνοντας.

heirm. θ' EE 80, n. 112, Germani 165 ἀνδρείως

IN XLII MARTYRES

Synaxarium, 516: ..... ἄθλησις τῶν ἁγίων τεσσαράκοντα δύο μαρτύρων τῶν ἐν τῷ Ἀμορίῳ κρατηθέντων καὶ ἐν Συρίᾳ μαρτυρησάντων, Θεοδώρου, Κωνσταντίνου, Θεοφίλου, Βασόη καὶ τῆς συνοδίας αὐτῶν. Οὗτοι τῆς.. πόλεως Ἀμορίου κρατηθείσης ὑπὸ τῶν Σαρακηνῶν, ὑπὸ Θεοφίλου τοῦ βασιλέως Ῥωμαίων στρατηγοὶ καὶ ταξιάρχαι ὄντες καὶ εὐγενεῖς, αἰχμάλωτοι ἀπαχθέντες, οὔτε δειλίᾳ, οὔτε ὀλιγοψυχίᾳ καὶ φιλοψυχίᾳ, οὔτε πολυχρονίῳ ταλαιπωρίᾳ καὶ καθείρξει τῆς φυλακῆς τὴν εἰς Χριστὸν παραδεδώκασι πίστιν· ἀλλ' ἀνδρείῳ φρονήματι καὶ ψυχῆς γενναιότητι παραταξάμενοι — οὐ γὰρ τῇ τοῦ σώματος κακώσει καὶ τῇ πολυταριχείᾳ καὶ τὰς ψυχὰς ἐξησθένησαν, — ἀλλ' ἀνδρείως στάντες καὶ τὴν εἰς Χριστὸν πίστιν ἀρνήσασθαι μὴ καταδεξάμενοι, χαίροντες τὰς κεφαλὰς ἀπετμήθησαν.

Crypt. Δ.α. XVII = Ck, ff. 17ᵛ-20ᵛ
Crypt. Δ.α. VII = Db, ff. 19-22ᵛ
Vat. gr. 2008 = Vm, ff. 88ᵛ-90
Paris. gr. 1563 = Pb, ff. 19ᵛ-23ᵛ
Mess. gr. 163 = Mg, ff. 23-27
Paris. gr. 1574 = Pu, ff. 13-15ᵛ

Ὁ κανών.
Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ὑγρὰν διοδεύσας ὡσεὶ ξηρὰν*

* Βυθῷ με πεσόντα ἁμαρτιῶν,
καὶ σοῦ τῷ πελάγει
προσφυγόντα τῶν οἰκτιρμῶν,
πρεσβείαις, Χριστέ, τῶν ἀθλοφόρων
πρὸς σωτηρίας λιμένα ὁδήγησον.

* || Ἀστράπτων τῷ κάλλει τῶν ἀρετῶν,
f. 18 φορῶν πορφυρίδα
ἐξ αἱμάτων μαρτυρικῶν,
ὡς σκῆπτρον κατέχων τὸ σταυρόν σου,
συμβασιλεύεις κυρίῳ, Θεόδωρε.

Vasilievskij-Nikitin, canonem mutilum ediderunt (cfr. Commentarium)
tit. εἰς τὸν ὄρθρον ὁ κανών et in margine Ἰγνατίου Pb Pu
heirm. α' EE 320, n. 315, Joannis 1 βυθὸν Pu 3 προσφυγότα Mg
5 πρὸς] εἰς Pb Mg Pu 9 σου] δὲ Pb Mg Pu, σκῆπτρον] σκηλύπτον Mg

* Παρθένον τὸ σῶμα καὶ τὴν ψυχὴν
τηρήσας ἐκ βρέφους
ἐμμελείᾳ τῶν ἀρετῶν,
τοῦ πνεύματος ὤφθης τοῦ ἁγίου
κατοικητήριον, ἔνδοξε Κάλλιστε.

* Ἐν ὕμνοις Θεόδωρον, οἱ πιστοί,
Κάλλιστον, Βασόην
καὶ Θεόφιλον σὺν αὐτοῖς,
ἅμα Κωνσταντίνῳ τῷ γενναίῳ
καὶ τοῖς λοιποῖς εὐφημήσωμεν μάρτυσιν.

θεοτ. * Ἐξήμεσεν Εὔας ταῖς ἀκοαῖς
ἰὸν ψυχοφθόρον
ὁ ἀλάστωρ καὶ δυσμενής,
Χριστὸν δὲ τεκοῦσα, θεομῆτορ,
τὴν τούτου βλάβην εὐθὺς ἐθεράπευσας.

ᾠδὴ γ'. *Οὐρανίας ἁψῖδος*

* Λαμπρυνόμενος αἴγλῃ
ὡς ἀληθῶς, ἔνδοξε,
τῆς θεοσεβείας καὶ κάλλει
ὡραϊζόμενος
ἐνθέων πράξεων,
βαρβαρικῆς ἀθεΐας
τὴν ζοφώδη ἔλυσας,
μάκαρ, δυσσέβειαν.

* Τῷ Δαυὶδ καθ' ἑκάστην
προσομιλῶν, γέγονας

11-15 trop. om. Vm Pb Pu 16-20 trop. om. Mg 17 [illegible]σώην Ck
20 καὶ τοὺς λοιποὺς εὐφημήσωμεν μάρτυρας Pb Pu 21-25 θεοτ. [illegible] III, 125
21 ἐξέμεσε Pb Pu 22 ψυχοφθόρων Mg 25 εὐθὺς om. P[illegible] Pu MR
heirm. γ' EE 220, n. 315, Joannis 31 ἐνθεΐας Mg 34-41 trop. om. Pb Pu

34-41, B. Vasilievskij-P. Nikitin, « Mémoires de l'Académ[illegible] imp. des sciences de S. Pétersbourg » s. VIII, vol. VII, 2 (1905), p. 23[illegible]
Ὅθεν δὴ καὶ αὐλιζόμενος (Κάλλιστος) οἴκοι καὶ πορευόμενος ἐν [illegible] τὰ θεῖα τῶν ψαλμῶν τερετίσματα τῷ ἱερῷ αὐτοῦ στόματι περιέφερεν, ὁσημέραι [illegible] τοῦ προφήτου Δαβὶδ λέγων πρὸς τὸν θεόν· « ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λό[illegible] σου, ὑπὲρ μέλι τῷ στόματί μου ».

ξύλον φυτευθὲν διεξόδοις
θείας ζωῆς ἐν Ἐδὲμ
καὶ προβαλλόμενος
μαρτυρικὴν εὐκαρπίαν
ἐν καιρῷ τῶν ἄθλων σου,
ἔνδοξε Κάλλιστε.

* Τῶν αἱμάτων τὰ ῥεῖθρα
ποταμηδὸν ῥεύσαντα
ἐκ τῶν παναγίων σωμάτων
τῶν ἀθλοφόρων σου,
τὴν βασιλείαν σου
καὶ τῆς τρυφῆς τὸν χειμάρρουν
τούτοις προεξένησαν,
εὔσπλαγχνε κύριε.

* Ἀπλανεῖς ὡς ἀστέρες
οἱ ἀθληταὶ λάμψαντες
τῷ τῆς ἐκκλησίας ἀΰλῳ
νῦν στερεώματι,
πᾶσαν κατηύγασαν
τὴν οἰκουμένην ἀκτῖσι
τῆς αὐτῶν ἀθλήσεως
οἱ γενναιότατοι.

θεοτ. * Σαρκωθεὶς ἐκ γαστρός σου
καὶ γεγονὼς ἄνθρωπος
ὁ διαφερόντως ὑπάρχων
μόνος φιλάνθρωπος,
σῴζει τὸν ἄνθρωπον
ἐκ τῶν πυλῶν τοῦ θανάτου,
θεομῆτορ ἄμωμε,
μόνη πανύμνητε.

36 ἐν ἐξόδοις Vm 37 ὑδάτων θείας ζωῆς Mg 38 προβαλλόμενος cdd. excepte Db 48 προεξένησε Pb Pu προεξένησαν Mg 50-57 trop. om. Vm Mg 52 ἀΰλῳ] ἁγίῳ Pb Pu 58-64 θεοτ. PaR, 697 58 ἐν γαστρὶ Mg Pu PaR 60 φιλάνθρωπος] ἀθάνατος Mg 64 ἄμωμε] ἄχραντε Vm Mg Pu - post odem γ' Pb Pu proferunt: Κάθισμα· ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ λόγου* Ἀπαχθέντες δεσμῶται ... MR IV, 31 (ipsum κάθ. Db post odem ς' tradit), θεοτ. Ὡς παρθένον καὶ μόνην ἐν γυναιξὶν... MR III, 304; σταυροθεοτ. Τὸν ἀμνὸν καὶ ποιμένα καὶ λυτρωτὴν... MR IV,5; in Pu vero σταυροθεοτ. inc. Ἡ παρθένος καὶ μήτηρ τοῦ λυτρωτοῦ... MR IV, 52

f. 18v ‖ᾠδὴ δ'. *Σύ μου, Χριστέ, κύριος, σύ μου καὶ δύναμις*

* Ὡραιωθεὶς
ταῖς καλλοναῖς τῶν ἀγώνων σου,
ἐστολίσω
χλαῖναν ἐξ αἱμάτων σου
ἐρυθρωμένην μαρτυρικῶν
καὶ κατεκοσμήθης
τῆς νίκης τῷ διαδήματι·
διὸ μετὰ μαρτύρων
πρὸ προσώπου κυρίου
συγχορεύεις, παμμάκαρ Θεόδωρε.

* Ἐν φυλακῇ
πεπεδημένος τοὺς πόδας σου
τῷ σιδήρῳ,
Κάλλιστε ἀήττητε,
τοῦ μαρτυρίου τὴν ἀπλανῆ
τρίβον διοδεῦσαι
ἀνεμποδίστως ἱκέτευες·
λυθεὶς δὲ διὰ ξίφους
ἐκ τοῦ σώματος αὖθις
τῇ στοργῇ συνεδέθης τοῦ κτίσαντος.

Ἐπὶ τὴν σὴν
πέτραν τῆς πίστεως χείμαρροι
ἀνομίας,
μάρτυς ἐπικλύσαντες,
οὐ παρεσάλευσαν τὸ στερρὸν
σοῦ τῆς διανοίας·
καὶ γὰρ αὐτοὺς κατεξήρανας
τοῖς ῥείθροις τῶν αἱμάτων,
Κωνσταντῖνε, κραυγάζων·
« τῇ δυνάμει σου δόξα, φιλάνθρωπε ».

heirm. δ' EE 219, n. 314, Joannis, in Db Pu heirm. inc. *Σύ μου ἰσχύς, / κύριε, σύ μου καὶ δύναμις* 66 ὡραϊσθεὶς Pb Pu 70 ἠρυθρωμένην Pb 76-85 trop. om. Vm 77 πεπεδημένους Pb Pu 81 διοδεύσας Ck Mg διοδεύεις Db 82 ἱκέτευε Ck Db Vm Mg 84 αὖθις] ὤφθης Mg 85 συνδεδεμένος Mg 86-95 trop. om. Pb Pu 86 Ὅλως τὴν σὴν Db Ὅτι τὴν σὴν Vm

* Φίλος Θεοῦ
κλήσει καὶ πράξει σὺ γέγονας·
τοὺς ἀθέους
βέλεσι κατέτρωσας
ὑπομονῆς τέλειον αὐτοὺς
ὡς ἐχθροὺς κυρίου
μισήσας, μάρτυς Θεόφιλε·
διό σε τῇ τοῦ ξίφους
κατεδίκασαν δίκῃ
τὸν δικαίοις ἀεὶ συγχορεύοντα.

* Θεῖος στρατός,
θεοσυνάθροιστον σύστημα
ἐκ πλειόνων
τόπων τε καὶ πόλεων,
δυὰς ἁπλῆ ἡ τῶν ἀθλητῶν
σὺν τῇ τετραρίθμῳ
δεκάδι νῦν ἀνατέταλκε,
νομίμως ἐναθλοῦντες
καὶ τεμνόμενοι κάρας
ὑπὲρ τῆς κεφαλῆς τῶν ἁπάντων Χριστοῦ.

* Σὺ τῶν πιστῶν
καύχημα πέλεις, ἀνύμφευτε,
σὺ προστάτις,
θεοτ. σὺ καὶ καταφύγιον,
χριστιανῶν τεῖχος καὶ λιμήν·
πρὸς γὰρ τὸν υἱόν σου
ἐντεύξεις φέρεις, πανάμωμε,
καὶ σῴζεις ἐκ κινδύνων
τοὺς ἐν πίστει καὶ πόθῳ
θεοτόκον ἁγνήν σε γινώσκοντας.

96-105 trop. om. Pb Mg Pu 102 μάρτυς] μῖσος Db 106-115 trop. om. Mg 107 σύστημα] σύνταγμα Pb Pu 116-125 θεοτ. MR IV, 414 125 γινώσκοντας] δοξάζοντας Pb Pu

106-115 B. Vasilievskij-P. Nikitin, t.c. 9:
Οὗτοι τοίνυν οἱ νῦν παρ' ἡμῶν ἐν εὐφημίαις εἰς μέσον προκείμενοι, οὐκ ἐκ μιᾶς φύντες πατρίδος ἢ πόλεως ἀλλ' ἐξ ἀλλοδαπῶν τε καὶ διαφόρων μακράν τε ἀπ' ἀλλήλων ἀπῳκισμένων συναθροισθέντες χώρων, πρὸς μίαν πατρίδα καὶ πόλιν κατήντησαν.

ᾠδὴ ε'. *Ἵνα τί με ἀπώσω*
ἀπὸ τοῦ προσώπου σου

* Προορῶν τοὺς στεφάνους
καὶ τὴν ἀναμένουσαν
δόξαν τοῖς μάρτυσι,
θαρσαλέᾳ γνώμῃ
τοῖς συνάθλοις ἐβόας· « τὸν θάνατον
μηδαμῶς πτοῆσθε,
f. 19 ὃν με‖τ' ὀλίγον εὐφροσύνη
καὶ τιμὴ διαδέχεται ἄφθαρτος ».

* Τετρωμένος τῷ πόθῳ,
μάκαρ, τοῦ δεσπότου σου
καὶ πυρπολούμενος
τῇ αὐτοῦ ἀγάπῃ,
μαρτυρίου ποτήριον ἔπιες,
μολυσμοῖς δευτέροις
ὃ οὐδαμῶς καταρρυποῦται,
ἀθλητὰ πανάοίδιμε Κάλλιστε.

* Καρτερόφρονι γνώμῃ
πρῶτος πρὸς τὴν ἄθλησιν
ἐθελοδρόμησας,
προτροπὴ ἀνδρείας
τοῖς συνάθλοις ὑπῆρξας, Θεόδωρε,
μεθ' ὧν ἐκληρώσω
τὰς οὐρανίους ἀπολαύσεις
καὶ τρυφὴν τὴν ἀεὶ διαμένουσαν.

heirm. ε' EE 219, n. 314, Joannis 128 τοὺς μάρτυρας [illegible] μάρτυσι] θεόδωρε Pb Pu 133 τιμὴ] ζωὴ Pb Pu ἄφθαρτος] ἄ[illegible]τος Pb Pu ἄφθορος Mg 140 καταρρυποῦται] σοφέ ρυποῦται Mg 144 [illegible]τομόλησας Pb Pu 148 τὰς αἰωνίους ἀναπαύσεις Pb ἀπολαύσεις] [illegible]παύσεις Pu

142-149, B. Vasilievskij-P. Nikitin, t.c. 6:
Τῶν δὲ δημίων Αἰθιόπων ἀναρριπιζόντων τὰ ξίφη καὶ ὥσπερ ἀ[illegible]ρτώντων ὁ κραταιὸς Κρατερὸς τὴν ὑπὲρ τοῦ πατρικίου φροντίδα πολλὴν ἔχων καὶ [illegible]ώς, μή που δειλανδρήσῃ προϊδὼν τὴν τῶν φίλων ἀναίρεσιν, φησὶ πρὸς αὐτόν· « κύρι[illegible]ου πατρίκιε, πρόκριτος ἡμῶν κατὰ πάντα ὤν, πρῶτος ὀφείλεις καὶ τὸν τοῦ μαρ[illegible] στέφανον δέξασθαι ». καὶ ὃς πρὸς αὐτόν· « σὺ τοῦτο μᾶλλον, καρτερόφρον, π[illegible]ς ποίησον· ἕξεις δέ σοι κἀμὲ συνεπόμενον καὶ πάντας τοὺς σὺν ἡμῖν ». Εὐξάμενος [illegible] ἐκεῖνος καὶ προσελθὼν τῷ δημίῳ δέχεται τὴν τομήν· εἶτα καθεξῆς καὶ οἱ ἅγιοι . . .

θεοτ. * Λύσιν ἁμαρτημάτων
ταῖς σαῖς ἱκεσίαις
παράσχου τοῖς δούλοις σου,
ῥυομένη τούτους
πειρασμῶν καὶ κινδύνων καὶ θλίψεων
καὶ τῆς τῶν βλασφήμων
αἱρετικῶν ἐπικρατείας,
θεοτόκε παρθένε πανάμωμε.

ᾠδὴ ϛ'. *Ἱλάσθητί μοι, σῶτερ,*

* Αἱμάτων σου αἱ ῥοαὶ
ποταμηδὸν ἐκχεόμεναι,
τῆς πλάνης τοὺς θολεροὺς
χειμάρρους ἐξήραναν,
πιστῶν καταρδεύουσαι
πάντων τὰς καρδίας,
ἀξιάγαστε Θεόδωρε.

* Ταλαιπωρίας βυθοῦ
ἀναγαγών σου τοὺς μάρτυρας,
ἐν πέτρᾳ ὑπομονῆς
αὐτοὺς ἐστερέωσας,
ἐχθρῶν διαβήματα,
σκολιὰς ὁδούς τε
ὑπεκκλίνοντας, φιλάνθρωπε.

* Ὡραῖος ὡς ποταμὸς
ἐκ τῆς Ἐδὲμ ἐξορμώμενος,
τὴν πόλιν τὴν τοῦ Θεοῦ
οἰκείοις ἐν αἵμασιν
ἐκπλύνετε, ἅγιοι,
ἀσεβείας ῥύπον
εὐσεβῶς ἀποκαθάραντες.

150-157 θεοτ. MR II, 189
155 βλασφήμων] βαρβάρων Mg
heirm. ϛ' EE 220, n. 315, Joannis 162 πιστῶν δὲ κατήρδευσαν Pb Mg Pu
168 ἐστερέωσας] ὑπεστήριξας Pb Pu ἐπεστήριξας Mg 173 ἐξορμούμενοι Pb Pu
176 εὐφραίνετε μάρτυρες Pb Mg 178 ἀποκαθαίροντες Db Pb

θεοτ. * Ὡς ἔμψυχος κιβωτὸς
τὸν νομοδότην ἐχώρησας,
ὡς ἅγιος δὲ ναὸς
ἐδέξω τὸν ἅγιον
γενόμενον ἄνθρωπον
ἐπ' εὐεργεσίᾳ
τῶν ἀνθρώπων, θεοτόκε ἁγνή.

Κάθισμα.

Ἦχος δ'. *Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ*

Συμπεφραγμένοι ἀνδρικῶς

....

f. 19v || ᾠδὴ ζ'. *Οἱ ἐκ τῆς Ἰουδαίας*
καταντήσαντες παῖδες

* Ὡς νομίμως ἀθλήσας,
τοὺς τῆς δικαιοσύνης
στεφάνους εἴληφας
ἐκ μόνου τοῦ δεσπότου
καὶ νῦν τοῦ θείου κάλλους
ἐντρυφᾷς, ὦ Θεόδωρε,
« ὁ τῶν πατέρων », βοῶν,
« Θεός, εὐλογητὸς εἶ ».

* Πρὸς σφαγὴν ἑκουσίως
ὡς ἀμνὸς εἰς θυσίαν,
μάρτυς, ἀγόμενος,
τῆς ἄνω ἀνεδείχθης
τραπέζης ἱερεῖον,

179-185 θεοτ. PaR, 688 180 νομοθέτην Pb Pu, [illegible]σας Vm 185 θεοτόκε ἁγνή] ἀειπάρθενε Db παναμώμητε PaR κάθ. ed. in [illegible]R IV, 31 Pb Mg MR IV, 33 post odem ϛ' inserunt: Κοντάκιον· ἦχος [illegible] Τὰ ἄνω ζητῶν Τοὺς νεοφανεῖς ἀστέρας (= Τοὺς νεοφανεῖς ὁπλίτας Mg MR), i[illegible]us κοντακ. οἶκος sonat Ἀγαρηνῶν τὸ ἄθεον σέβας ...PAS I, 603, in Mg vero le[illegible]r: οἶκος· Τὸ τοῦ θεοῦ ἀμήχανον κάλλος (= Τὸ τοῦ Χριστοῦ ἀμήχανον κάλλος M[illegible]e.)
heirm. ζ' EE 224, n. 321, Joannis 190 τῷ θείῳ κ[illegible] Pb Pu 192-193, 200-201, 208-209, 216-217 cdd. varie recidunt oration[illegible] 197-198 τῇ ἄνω ἀνεδείχθης / τραπέζῃ ἱερεῖον Pb Mg τῇ ἄνω ἀνηνέχθ[illegible] / τραπέζῃ ἱερεῖον Pu

μελῳδῶν ἐν τῷ θύεσθαι·
« ὁ τῶν πατέρων ἡμῶν
Θεός, εὐλογητὸς εἶ ».

* Τῆς ἀγάπης σου, Λόγε,
τῷ πυρὶ τὴν καρδίαν
καταφλεγόμενος,
ἀκάνθας δυσφημίας
κατέφλεξεν ὁ μάρτυς,
ἀναμέλπων σοι, Κάλλιστος·
« ὁ τῶν πατέρων ἡμῶν
Θεός, εὐλογητὸς εἶ ».

* Ἰσμαὴλ ὁ παράφρων
τοὺς θεόφρονας πείθειν
Χριστὸν ἀρνήσασθαι
οἰόμενος ᾐσχύνθη·
αὐτοὶ γὰρ ἐν τῷ θνήσκειν
εὐσεβῶς ἀνεκραύγαζον·
« ὁ τῶν πατέρων ἡμῶν
Θεός, εὐλογητὸς εἶ ».

θεοτ. Ἡ τῆς Εὔας τὴν λύπην
εἰς χαρὰν τρεψαμένη,
μῆτερ, τῷ τόκῳ σου
ἀνύψωσον τὸ κέρας,
ἁγνή, τῶν ὀρθοδόξων
καὶ κατάβαλε σύστημα
αἱρετιζόντων εἰς σέ,
ἁγνὴ θεοκυῆτορ.

ᾠδὴ η'. *Ἑπταπλασίως κάμινον*

* Τῶν ἀθλητῶν προσθήκην σε
ὁ χορὸς ὑπεδέξατο

202-209 trop. om. Vm 211 πίθειν Mg 218-225 Pb Pu tradunt θεοτ. Παρθενικῆς ἐκ νηδύος... MR II, 131 225 ἁγία θεοτόκε Db καὶ τὸν ἐκ σοῦ τεχθέντα Mg

heirm. η' EE 219, n. 314, Joannis Pb Pu strophas odis η' hoc ordine tradunt 1, 2, 4, 3, (x)

ταῖς τοῦ μαρτυρίου καλλοναῖς λαμπόμενον,
ἀὴρ καθηγίασται
ἐν τῇ ἀνόδῳ, μάρτυς, τῇ σῇ
καὶ τὰ τῶν ἀγγέλων ἐπεκρότησαν πλήθη,
ἡ γῆ καθηγιάσθη
ἔνθα κεῖται τὸ σῶμα
τὸ σόν, ὦ καρτερόφρον
Θεόδωρε τρισμάκαρ.

* Κληρονομίας σχοίνισμα
τοῦ κυρίου γενόμενος
καὶ πρὸς τὴν σφαγὴν αὐτοθελῶς ἑλκόμενος,
σχοινίῳ δεθῆναί σου
οὐ κατεδέξω, Κάλλιστε,
ἀποτεμνομένην κεφαλὴν τὴν ἁγίαν·
διὸ στεφανηφόρος
ἀνελθὼν συγχορεύεις
ταῖς ἄνω στρατηγίαις
εἰς πάντας τοὺς αἰῶνας.

* Ἐν ποταμῷ οἱ μάρτυρες
ἐμβληθέντες οἱ ἔνδοξοι
f. 20 ‖ μετὰ τὴν τοῦ ξίφους τιμωρίαν ἤγοντο
λιμένα πρὸς εὔδιον
τῆς ἐν Χριστῷ ἀνέσεως,
ὕδατα τῆς πλάνης τοῖς κρουνοῖς τῶν αἱμάτων
ξηράναντες τῷ ψάλλειν·
« ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

* Μακαριζέσθω Κάλλιστος,
εὐφημείσθω Θεόδωρος,

228 λαμπόμενος Mg 231 ἐπεκρότησε Db Pb 243 ἀνε[illegible]] ἐναθλῶν Pb Pu 246-255 trop. om. Vm 252 τὸ Ck 253-255, [illegible] 265 cdd. varie resecant laudem 256-265 trop. om. Mg

236 Deut. 32, 9

ἅμα Κωνσταντίνῳ ὁ κλεινὸς Θεόφιλος,
Βασόης ὁ κράτιστος
καὶ ὁ λοιπὸς μαρτύρων χορός,
ταῖς ἀγγελικαῖς περιχορεύων χορείαις
καὶ ψάλλων ἀσιγήτως·
« ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

θεοτ. Ἀντὶ κατάρας εὕρομεν
εὐλογίαν τῷ τόκῳ σου
οἱ κατακριθέντες διὰ ξύλου βρώσεως
θανάτῳ, θεόνυμφε,
καὶ πρὸς ζωὴν ἀνήχθημεν
διὰ τοῦ θανέντος δι' ἡμᾶς ἑκουσίως,
ὃν παῖδες εὐλογεῖτε,
ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

•

ᾠδὴ θ'. *Ἐπέστη ἐπὶ τούτῳ ὁ οὐρανὸς*

* Τῶν πάλαι τὴν ἀνδρείαν ἐζηλωκὼς
ἀθλοφόρων, αὐτῶν καὶ τῆς κλήσεως
καὶ τῆς χαρᾶς
ἔτυχες, Θεόδωρε ἀθλητά·
ἀλλὰ ἡμῶν μνημόνευε
τῶν ἐπιτελούντων σου εὐσεβῶς
τὴν μνήμην τὴν ἁγίαν,
ὡς ἔχων παρρησίαν
πρὸς τὸν δεσπότην, τοῦ σωθῆναι ἡμᾶς.

---

259 Βασσώης Ck 267-275 Pb Pu tradunt θεοτ. Θεογεννῆτορ πάναγνε . . . MR III, 272 266 εὕροιμεν Ck εὕραμεν Vm Mg 272 ὃν πίστει ἐκβοῶμεν Db, ceteri cdd. varie praecidunt orationem heirm. θ' EE 220, n. 314, Joannis Pb troparia odis θ' hoc ordine refert, 1, 3, 4, (x) 276 ζηλωτικῶς Vm 279 ἀθλητά] ἀληθῶς, Pb Mg Pu

* Ἐγκράτειαν, ἐλπίδα καὶ προσευχήν,
παρθενίαν ὁμοῦ καὶ ταπείνωσιν,
ὑπομονὴν
καὶ πίστιν καὶ ἀγάπην εἰλικρινῆ
πρὸς τὸν Χριστὸν κτησάμενος,
ἐλεημοσύνης ταῖς καλλοναῖς
λαμπρῶς ὡραϊσμένος
μαρτύρων ἐπὶ [illegible]έλει,
Κάλλιστε, δόξης ἐστεφάνωσαι.

* Ἐν ῥείθροις Ἰορδάνου ὁ βαπτισθεὶς
βαπτισθέντας οἰκείοις ἐν αἵμασι
καὶ τὸν αὐτοῦ
θάνατον ζηλώσαντας εὐσεβῶς
ἐν ποταμῷ τοὺς μάρτυρας
ἥνωσε ῥιφέντας τὰς κεφαλὰς
τοῖς σώμασι συνάψας
καὶ τούτους εἰς λιμένα
καθοδηγήσας τὸν ἀπέραντον.

* Τετράριθμε μαρτύρων θεία δεκάς,
σὺν δυάδι τιμίᾳ, πρεσβεύσατε
ἐν οὐρανοῖς
νῦν περιπολεύοντες ἐν χαρᾷ
ὑπὲρ ἡμῶν, δεόμεθα,
τῶν ἐπιτελούντων ἐπὶ τῆς γῆς

285-293 trop. om. Pb Pu 288 καὶ πίστιν: καὶ [illegible] Db Vm 290 ἐλεημοσύναις Mg ταῖς] καὶ Mg 291 λαμπρὸς Db 29[illegible] Κάλλιστε] κάλλει σε cdd. exceptis Db Mg δόξης] μάρτυς Mg ἐστεφάνωσε [illegible], ἐστεφάνωσεν ceteri cdd. 294-302 trop. om. Pu 296 τῶν Pu 30[illegible] ἀπέραντον] ἀκύμαντον Db Pb 306 ἐν χαρμονῇ Mg

---

285 II Petr. 1,6.

294-302, B. Vasilievskij-P. Nikitin, t.c. 35:
Ὁ δὲ Τίγρης τὰ ἅγια σώματα προσηκάμενος τῶν μαρτύρων, ὥσπερ ἐ[illegible]τάγματος τῆς προνοίας εἰλιγγοειδῆ τινα κόλπον ποιήσας καὶ ταῦτα ἐντὸς τούτου [illegible]ναθροίσας προσῆψεν ἑκάστῳ σώματι τὴν ἰδίαν κεφαλήν, καὶ οὕτως εἰς βάθος χωρ[illegible]...

Οἱ τὰ τῆς γῆς παραδιδόντες
καὶ τῷ Θεῷ σπεύσαντες
ἐπιτυχεῖν, χαρμονικῶς
ἀνευφημείσθωσαν μάρτυρες
οἱ δύο καὶ τεσσαράκοντα·
ἔναντι
ὁμολογοῦντες τῶν ἐθνῶν,
κλέος ἐκτήσαντο.

θεοτ. Ἰσοσθενῆ Λόγον τίκτεις
ὑπερφυῶς, ἄχραντε,
πατρὸς καὶ πνεύματος, ἁγνή,
ὃν οἱ καλλίνικοι μάρτυρες
οἱ δύο καὶ τεσσαράκοντα
ἔναντι
ὁμολογοῦντες τὸν Χριστὸν
κλέος ἐκτήσαντο.

ᾠδὴ γ'. *Μὴ καυχάσθω ὁ καυχώμενος*
ἐν τῇ αὐτοῦ δυναστείᾳ, ὡς γέγραπται,
ἀλλ' ἐν τῇ πίστει ἀμωμήτῳ
Χριστῷ προσέλθομεν,
ἀκλινῶς κραυγάζοντες
ὡς κηρύττουσιν αἱ τῶν πατέρων φωναί.

Ἠνεῴχθη ὁ νυμφὼν ὑμῖν
τῆς ἀφθαρσίας καλῶς τὸν ἀγῶνα
διηνυκόσιν, ἅγιοι,
καὶ ἐπεκρότησαν
τῶν ἀγγέλων αἱ στρατιαί,
θεασάμεναι στεφανωθέντας ὑμᾶς.

« Τί μαινόμενος, παράφρον,
καταναγκάζεις ἡμᾶς ἐξαρνήσασθαι
Χριστοῦ τὸ θεῖον ὄνομα;

22-24 cfr. vv. 30-32 31 ὁμολογεῖτε cd.
heirm. γ' EE 109, n. 152, Andreae 3 ἀλλὰ τῇ... τῇ ἀμωμήτῳ EE 4 συνεισέλθωμεν EE 5 κραυγάζοντες] δοξάζοντες EE 38 θεασάμενοι cd. 39 παράφρονε

33 I Regn. 10.

— ἔφη Θεόδωρος —
οὐ νικήσεις, τοῦτο ποιῶν,
τοὺς σπουδάζοντας νίκης στεφάνους λαβεῖν».

Ἀνυμνείσθω μελῳδήμασι
θεῖος Βασόης καὶ σὺν Κωνσταντίνῳ
ὁ θαυμαστὸς Θεόδωρος
καὶ ὁ Θεόφιλος
καὶ ὁ Κάλλιστος ὁ σοφός,
προεξάρχοντες τοῦ τῶν μαρτύρων χοροῦ.

θεοτ. Ἱερὸς μαρτύρων σύλλογος,
παρθενομῆτορ, τὸ σὸν λιτανεύει
ἀδιαλείπτως πρόσωπον,
μεθ' ὧν ἱκέτευε
τὴν τιμῶσάν ⟨σε⟩ ἐκτενῶς
ποίμνην σῴζεσθαι παντοδαπῶν πειρασμῶν.

Κάθισμα.

Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ Λόγου*

Ἀπαχθέντες δεσμῶται
....

f. 75 || ᾠδὴ δ'. *Ἀκήκοεν ὁ προφήτης*

Στρατολογίᾳ ἐνθέῳ
σαφῶς παραταξάμενοι, τὰς μυριάδας
τῶν ἀνόμων ἐτροπώσασθε
καὶ βραβεῖα
νίκης ἐκομίσασθε,
τεσσαράκοντα καὶ δύο πανεύφημοι.

« Πρόσχες ἡμῶν τῇ δεήσει,
κύριε, καὶ τελείωσον ἡμῶν τὸν δρόμον »
ἀνεβόων ἀναιρούμενοι

55 τιμώσασαν
κάθ. ed. in MR IV, 31 heirm. δ' ed. in TR, 66

οἱ γενναῖοι
μάρτυρες γηθόμενοι·
αὐτῶν προσευχαῖς σῶσον ἡμᾶς, δέσποτα.

Ῥεῖθρα ποτάμια πάντας
ἐδέξαντο σταζόμενα ῥείθροις αἱμάτων,
ἀθλοφόροι, αἴγλης ἄνωθεν
φωτιζούσης,
ἕως κατηντήσατε
πρὸς ὅρμον ζωῆς, πρὸς χειμάρρουν θείας τρυφῆς.

θεοτ. Ὁ τῷ πατρὶ συνυπάρχων
ἐκ σοῦ σαρκοῦται, πάναγνε, δι' εὐσπλαγχνίαν,
ὃν οἱ μάρτυρες ἐκήρυξαν
ἐναθλοῦντες
Θεόν τε καὶ ἄνθρωπον,
παρθένε, μεθ' ὧν πάντες σε δοξάζομεν.

ᾠδὴ ε'. *Ἀνάτειλόν μοι, κύριε,*

Σοφίᾳ κατεπάλαισας
τὸν τύραννον, Θεόδωρε,
ἀποσυλῆσαί σε ἐλπίζοντα,
καὶ ξίφει ὑποκλίνας
τὴν ἁγίαν κάραν σου,
ὡς ἀρνίον ἄκακον
ὑπεδέξω τὴν σφαγήν.

Φιλῶν Χριστόν, Θεόφιλε,
ἐτύθης καὶ τοῖς αἵμασιν
ἀπολουσάμενος, ἀνέδραμες
πρὸς θείας καταπαύσεις,
ὅπου τάξις πέφυκε
νοερῶν δυνάμεων
καὶ μαρτύρων οἱ χοροί.

---

heirm. ε' EE 106, n. 149, Andreae

92 Jer. 11,19.

Ἐθελουσίως τέθηκας
τῷ τέμνοντι τὸν τράχηλον
ξίφει, θεόφρον Κωνσταντῖνε,
καὶ καλῶς ταῖς ῥανίσι
πλυθεὶς τῶν αἱμάτων σου
πρὸς τὰ ὑπερκόσμια
μετετέθης ἐν χαρᾷ.

Ῥωσθέντες θείᾳ χάριτι
τοῦ ἐκ γαστρός σου λάμψαντος
πρὸς δυσὶν οἱ τεσσαράκοντα
θεοτ. γενναῖοι ἀθλοφόροι,
καρτερῶς ἐνήθλησαν·
μεθ' ὧν σε δοξάζομεν,
θεοτόκε, εὐσεβῶς.

ᾠδὴ ς'. *Ζάλη με*

Ὢ θαῦμα·
πῶς ἐν ὕδατι ῥιφέντες
ὕπερθεν ἐκφέρεσθε,
ἐφαρμοσθείσης καθ' ἕνα
τῆς τμηθείσης ἁγίας κεφαλῆς,
κυρίου ἐπινεύσει,
μεγαλομάρτυρες ἔνδοξοι;

Νέοι τε
καὶ πρεσβῦται ⟨ἐκ⟩ διαφόρων
ὁρμώμενοι πόλεων
οἱ τεσσαράκοντα δύο,
μίαν γνώμην ἐσχήκασιν· διὸ
καὶ ἴσων τῶν βραβείων
ἀναιρεθέντες ἐπέτυχον.

f. 75ᵛ ‖ Ἐπαίνοις
καταστέψωμεν ἐνθέοις
Βασόην, Θεόδωρον,

---

heirm. ς' EE 107, n. 150, Andreae

Θεόφιλον, Κωνσταντῖνον
σὺν Καλλίστῳ καὶ πᾶσι τοῖς λοιποῖς
ἀθλήσασιν ἁγίοις
ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

θεοτ. Ὁ πλήρης
ἐν τῇ μήτρᾳ σου κενοῦται,
τῆς ἰδίας φύσεως
ἐκστὰς οὐδόλως, παρθένε,
δι' ὃν ἤθλησαν οἱ περιφανεῖς
γενναῖοι ἀθλοφόροι,
μεθ' ὧν πιστῶς σε δοξάζομεν.

Κοντάκιον.

Ἦχος δ'. *Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ*

Οἱ ἐν τῇ γῇ διὰ Χριστὸν ἐργασίαις
....

Ὁ οἶκος. *Τῇ Γαλιλαίᾳ*

Νυμφοστολίσθητι φαιδρῶς
....

ᾠδὴ ζ'. *Τῇ εἰκόνι τῇ χρυσῇ*

Νόμοις, μάρτυρες, Χριστοῦ
ἐντεθραμμένοι ἁγίοις,
παρανομίας νόμους ἀπώσασθε
καὶ τὸν ἀγῶνα ὁμοῦ νομίμως
διανύσαντες, σοφοί,
ἴσων βραβείων ἐκ Θεοῦ
ἐτύχετε, βοῶντες·
« εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

κοντάκ. HR, 184
heirm. ζ' EE 107, n. 150, Andreae
144-145, 153-154, 162-163,
171-172 cd. varie praecidit orationem

Κόσμος ὤφθητε ἡμῖν,
νεοφανεῖς ἀστέρες
μετατεθέντες ἐν ὑπερκόσμια·
ὅθεν ὁ κόσμος ὑμᾶς γεραίρει
καὶ προστάτας ἀγαθοὺς
πρὸς τὸν σωτῆρα παντελῶς
προβάλλεται βοῶντας·
« εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

Ῥεῖθρον, κύριε, ζωῆς
μόνος ὑπάρχων, αἱμάτων
ἐδέξω ῥεῖθρα τῶν ἀθλοφόρων σου
καὶ παραδείσῳ τούτους πολίτας
καὶ χειμάρρους τῆς τρυφῆς
ἐναπειργάσω παντελῶς,
βοῶντας καὶ λέγοντας·
« εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

θεοτ. Ὁ τοῖς ἄνω Χερουβὶμ
προσεποχούμενος, κόρη,
ταῖς σαῖς ἀγκάλαις ἐπαναπαύεται,
ὅπως τὸν κόπον τῆς ἁμαρτίας
ἀφέληται τῶν βροτῶν·
ὃν ἐκδυσώπει ἐκτενῶς
τοῦ σῶσαι τοὺς ψάλλοντας·
« εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

ᾠδὴ η'. *Γῇ καὶ πάντα τὰ ἐν αὐτῇ*

f. 76 ‖ Τί ὡραία σου ἡ μορφή,
Θεόδωρε,
ἀθλήσαντος στερρῶς·
τί σου τὸ εἶδος θαυμαστόν,
εὐγενέστατε Κωνσταντῖνε

167 τῶν κόπων 168 ἀφελῆται
heirm. η' EE 107, n. 150, Andreae

τί δὲ ἐλαμπρύνθης
σὺν Βασόῃ, πανεύφημε Κάλλιστε,
καὶ τῷ Θεοφίλῳ
τελέσαντι τὸν δρόμον.

Οἱ αἱμάτων τοῖς ὀχετοῖς
σβέσαντες
πυρὰν βαρβαρικήν,
ῥείθροις ἐκδίδονται ὁμοῦ
ποταμίοις καὶ ὡς ἀστέρες
ὁρῶνται τὸ ὕδωρ
ὑποπλέοντες, καταλαμπόμενοι
θείαις φρυκτωρίαις,
ὡς μάρτυρες τοῦ Λόγου.

Νέους μάρτυρας ὁ Χριστὸς
ἔδειξεν
ἡμῖν τοῖς ταπεινοῖς·
ἀγαλλιάσθω οὐρανός,
αἱ νεφέλαι δικαιοσύνης
ῥανάτωσαν, πᾶσαι
γενεαὶ τῶν ἀνθρώπων σκιρτήσατε,
τούτων τὴν ἁγίαν
πανήγυριν τελοῦσαι.

θεοτ. Ὁ τὸ εἶναι πᾶσι διδοὺς
τίκτεται
ἐκ σοῦ ὑπερφυῶς,
θεοχαρίτωτε ἁγνή,
ὃν οἱ μάρτυρες οἱ γενναῖοι
θεὸν ἐναντίον
παρανόμων σεπτῶς ὡμολόγησαν·
μεθ' ὧν σε ὑμνοῦμεν,
Μαρία θεοτόκε.

205 θεῶν ἐναντίων

182-190, B. Vasilievskij-P. Nikitin, t.c. 35:
'Εν γὰρ τῷ φέρεσθαι ἐπάνω τοῦ ποταμοῦ τὰ ἅγια ἐκεῖνα λείψανα ἔβλεπον καθύπερθεν ἑνὸς ἑκάστου αὐτῶν ἀστέρα λαμπαδοῦχον ἰσοτίμῳ φωτὶ τὸ ὑποκείμενον καταυγάζοντα.

ᾠδὴ θ'. *Ὅτι ἐποίησέ μοι*

Ἰσχύϊ τοῦ σωτῆρος
καθελόντες τὸν πονηρόν,
βραβεῖα ἐκομίσασθε ζωῆς,
ἀθλοφόροι θαυμαστοί·
ὅθεν ὑμᾶς χαρμονικῶς
πάντες γεραίρομεν.

Ὡραῖοι γεγονότες
τῶν στιγμάτων ταῖς καλλοναῖς,
παρίστασθε τῷ θρόνῳ τοῦ Θεοῦ,
βεβαμμένην, ἀθληταί,
οἰκείοις αἵμασι στολὴν
περιβαλλόμενοι.

Συμφώνως Κωνσταντῖνον
καὶ Θεόδωρον τὸν κλεινόν,
Βασόην καὶ Θεόφιλον ὁμοῦ
σὺν Καλλίστῳ τῷ σοφῷ
καὶ τοῖς λοιποῖς συναθληταῖς
ἀνευφημήσωμεν.

Ἡμέραν εὐφροσύνης
τὴν ἁγίαν μνήμην ὑμῶν
ποιούμενοι, δεόμεθα, σοφοί,
μνημονεύσατε ἡμῶν,
τῷ βασιλεῖ τῶν οὐρανῶν
νῦν παριστάμενοι.

θεοτ. Φωτοκυῆτορ κόρη,
φωταγώγησον τὰς ἡμῶν
καρδίας καὶ ἱκέτευε τυχεῖν
βασιλείας οὐρανῶν,
ἡ τῶν μαρτύρων τοὺς χοροὺς
καταλαμπρύνασα.

heirm. θ' ЕЕ 106, n. 149, Andreae 225 σὺν ἀθληταῖς

216 Gal. 6,17 219 Apoc. 7,9

IN S. BASILEAM EPISCOPUM CHERSONENSEM

Synaxarium, 517: ... Ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ Ἕρμων, ὁ Ἱεροσολύμων ἐπίσκοπος, ἀπέστειλεν ἐπισκόπους, εἰς μὲν Σκυθίαν Ἐφραίμ, εἰς δὲ Χερσῶνα Βασιλέα, ἔνθα τὸν Χριστὸν κηρύττων τυφθεὶς ἀπηλάθη. Ἐγείρας δὲ τὸν υἱὸν τοῦ ἄρχοντος ἐκ τῶν νεκρῶν, πάλιν προσεκλήθη, βαπτίσας τὸν ἄρχοντα καὶ ἑτέρους πολλούς. Οἱ δὲ ἄπιστοι μανέντες ἔσυραν αὐτὸν σχοινίοις ἀπὸ τῶν ποδῶν καὶ συρόμενος ἐτελεύτησε .....

Coislin. gr. 309 = H, ff. 25-29

Ὁ κανών.

Ἦχος δ'.

ᾠδὴ α'. *Ἄισωμεν τῷ κυρίῳ*

Τὸν πάνσοφον ἱεράρχην
καὶ φερωνύμως γενόμενον
ἀρετῶν βασιλέα
τιμήσωμεν ἅπαντες
ὕμνοις καὶ ἀπαύστοις ᾠδαῖς.

Ὡς τίμιον μαργαρίτην
ἐν τῇ θαλάσσῃ κρυπτόμενον
τὸν ἑαυτοῦ ἱεράρχην
Χριστὸς ἐφανέρωσεν
εἰς δόξαν τῶν θαυμάτων αὐτοῦ.

Ἰσάγγελον πολιτείαν
ἐπὶ τῆς γῆς ἐνδειξάμενος,
τρισμακάριε πάτερ,

heirm. α' EE 95, n. 134, Germani

6 Apoc. 17,4.

ἀξίως ἀπέλαβες
οὐράνιον κατοίκησιν.

θεοτ. Σὲ τὴν χαρὰν τῶν ἀγγέλων,
τῶν ἀποστόλων τὸ καύχημα
καὶ τῶν ἁγίων μαρτύρων
στερέωμα ἄσειστον,
παρθένον μακαρίζομεν.

ᾠδὴ γ'. *Ἐν κυρίῳ Θεῷ μου*

Ἀναλαβὼν τὴν πανοπλίαν
τὴν τοῦ πνεύματος, μακάριε,
κατῄσχυνας ἀνδρείως
τὰ τοῦ ἐχθροῦ μηχανήματα.

Τυραννικὴν μὴ καταπτήξας,
παμμακάριστε, θρασύτητα,
τῆς πίστεως προέστης
τυραννικῶς μέχρις αἵματος.

Ὡς πιστὸν οἰκονόμον
τῶν μυστηρίων τοῦ σωτῆρος Χριστοῦ
ἐν ᾄσμασιν ἀξίως
τὸν ἱεράρχην τιμήσωμεν.

θεοτ. * Τὴν θεομήτορα παρθένον
ὀρθοδόξως ἀνυμνήσωμεν·
πρεσβεύει γὰρ ἀπαύστως
ὑπὲρ ἡμῶν πρὸς τὸν κύριον.

Κάθισμα.

Ἦχος δ'. *Τὴν ὡραιότητα*

Μύρῳ τῆς χρίσεως ἱερατεύσαντες
....

heirm. γ' EE 104, n. 146, Germani 33-36 θεοτ. MR III, 461
κάθ. MR IV, 38

f. 25v ᾠδὴ δ′. *Εἰσακήκοα / τὴν ἀκοήν ⟨σου καὶ ἐφοβήθην⟩*

Ἐπανήγαγες
ἐκ τοῦ βυθοῦ τῆς πλάνης, θεόφρον,
τῇ σαγήνῃ τῶν δογμάτων σου
τῆς ἐκκλησίας τὸ ποίμνιον.

Κυβερνώμενος
τῇ ἐπιπνοίᾳ τῆς εὐσεβείας,
πρὸς τὸν ὅρμον τὸν οὐράνιον
τῆς θείας δόξης κατηύγασας.

Ἀνεδείχθης,
ὦ μάρτυς, δοχεῖον καθαρώτατον
τῆς τοῦ πνεύματος ἐλλάμψεως
καὶ προφητείας ἠξίωσαι.

θεοτ. * Μῆτερ ἄχραντε
εὐλογημένη, ἁγνὴ παρθένε,
τοὺς ὑμνοῦντάς σε περίσῳζε
ἀπὸ πάσης περιστάσεως.

ᾠδὴ ε′. *Ὁ ἀνατείλας τὸ φῶς*

Ὁ καταισχύνας, Χριστέ,
τῆς ἀσεβείας τὴν ζάλην
διὰ τοῦ ἱεράρχου,
δόξα σοι, δόξα σοι,
Ἰησοῦ, υἱὲ τοῦ Θεοῦ.

Ὁ ἀναδείξας, Χριστέ,
τὸν ἱεράρχην φωστῆρα
ἐν λόγῳ ἀληθείας,

heirm. δ′ EE 124, n. 171, Andreae
49-52 θεοτ. MR III, 87 49 Μήτηρ MR
heirm. ε′ EE 104, n. 146, Germani

37-40 Matth. 13,47

δόξα σοι, δόξα σοι,
Ἰησοῦ, υἱὲ τοῦ Θεοῦ.

Ὁ ἰαμάτων πηγὴν
τὸν ἱεράρχην σου δείξας
βυθίσαντα τὴν πλάνην,
δόξα σοι, δόξα σοι,
Ἰησοῦ, υἱὲ τοῦ Θεοῦ.

θεοτ. * Τὴν τοῦ ἀγγέλου φωνὴν
ἀσιγήτως ἡ κτίσις
προσφέρει σοι, παρθένε·
«χαῖρε, μήτηρ ἄχραντε
Ἰησοῦ, υἱοῦ τοῦ Θεοῦ».

ᾠδὴ ς′. *Ὡς Ἰωνᾶν τὸν προφήτην*

Ἀντὶ τῶν ἄθλων βραβεῖα
τῶν θαυμάτων τὴν χάριν δεξάμενος,
τὰς ψυχικὰς ἡμῶν νόσους θεράπευσον
τῶν πίστει ἀνευφημούντων σε.

Ὁ τὴν μνήμην τοῦ ἱεράρχου
ἐπὶ τῆς γῆς μεγαλύνας, Χριστὲ ὁ Θεός,
αὐτὸς τοὺς πολλούς σου οἰκτιρμοὺς κατάπεμψον
τῷ κόσμῳ, μόνε φιλάνθρωπε.

θεοτ. * Ἡ ἀφράστως τεκοῦσα
τὸν σωτῆρα τῶν ὅλων Χριστὸν τὸν Θεόν,
αὐτὸν δυσωποῦσα μὴ παύσῃ τὸ γένος ἅπαν
σῶσαι τῶν ἀνυμνούντων σε.

vv. 62, 67 om. cd. 68-72 θεοτ. MR II, 688 72 υἱὲ
heirm. ς′ EE 103, n. 145, Joannis 74 τὰς ψυχὰς [illegible] 84 θεοτ.
TR, 57 81 ἀνεκφράστως TR 82 τῶν ὅλων] τοῦ κόσμου TR. Post odem
ς′ in cd. leguntur: τῷ αὐτῷ μηνὶ ζ′ τῶν ἁγίων μαρτύρων ἐφραί[illegible] βασιλέως,
εὐγενίου, ἀγαθοδώρου, ἐλπιδίου, καπίτωνος καὶ ἐλευθερίου (synax.).
τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι ἐπίσκοποι τριμυθοῦντος ἀρκάδιος καὶ νέστ[illegible] (synax.).
τῇ αὐτῇ ἡμέρᾳ τοῦ ὁσίου πατρὸς ἡμῶν παύλου τοῦ ἁπλοῦ (synax.).

73 I Cor. 9, 24

f. 28v ᾠδὴ ζ'. *Ὁ ἐν τῷ ὄρει | Μωυσῇ ⟨συλλαλήσας, καὶ τύπον⟩*

Θαυμαστώσας
διὰ τοῦ μαρτυρίου τὸν πάνσοφον
f. 29 ἱεράρχην || καὶ ἀθλοφόρον,
εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Κατὰ τῆς πλάνης
ἀριστεύσας, νομίμως στεφάνους
ἐκομίσω τοὺς ἀκηράτους,
θαυμάτων χάριν ἅπασιν
τοῖς πιστοῖς παρεχόμενος.

θεοτ. * Ὁ ἐν μήτρᾳ
τῆς παρθένου οἰκήσας καὶ ταύτην
οὐρανῶν πλατυτέραν δείξας,
εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

ᾠδὴ η'. *Τὸν βασιλέα Χριστὸν*

Τὸν βασιλέα Χριστόν,
ὃν ὡμολόγησε
Βασιλεὺς ὁ θεόφρων,
τῆς εὐσεβείας κῆρυξ
καὶ ὑπέρμαχος φανείς,
πάντα τὰ ἔργα ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

Ταῖς τῶν δογμάτων τῶν σῶν
ἅπαν τὸ ποίμνιον
ἀστραπαῖς καταυγάσας,

heirm. ζ' EE 104, n. 146, Germani (Μωσῆ cd.)   95-99 θεοτ. MR I, 131
heirm. η' EE 104, n. 146, Germani   105-107, 113-115, 121-123, 129-131 cd. varie abrumpit orationem

ἱερομάρτυς, ἔπεισας
βοᾶν εὐσεβῶς·
« πάντα τὰ ἔργα ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Ἀκαταπλήκτῳ ψυχῆς,
μάρτυς, φρονήματι
ἐναντίον ἐθνῶν τε
καὶ βασιλέων ἔστης,
ἐκβοῶν εὐσεβῶς·
« πάντα τὰ ἔργα ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

θεοτ. * Τὸν βασιλέα Χριστόν,
ὃν ἡμῖν ἔτεκεν
ἡ παρθένος Μαρία
καὶ μετὰ τόκον ἔμεινε
παρθένος ἁγνή,
πάντα τὰ ἔργα ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ'. *Μεγαλύνομεν πάντες*

Εὐφημήσωμεν πάντες
τὴν ἐτήσιον μνήμην
τοῦ ἱερομάρτυρος,
αὐτοῦ ταῖς δεήσεσι
τὸν μεγαλύναντα αὐτὸν
ἐλεηθῆναι Χριστὸν ἱκετεύοντες.

Ἐν τῇ γῇ τῶν πραέων
αὐλιζόμενος, πάτερ,
καὶ συνευφραινόμενος

124-131 θεοτ. MR II, 692
heirm. θ' EE 104, n. 146, Germani

ταῖς ἄνω δυνάμεσι,
μνείαν ποιούμενος,
ἱερομάρτυς, μὴ παύσῃ πρὸς τὸν κύριον.

θεοτ. * Χαῖρε, πάνσεμνε ἁγνή,
παρθενίας καύχημα,
μητέρων τὸ στήριγμα,
ἀνθρώπων βοήθεια
καὶ τοῦ κόσμου ἡ χαρά,
Μαρία, μήτηρ καὶ δούλη τοῦ Θεοῦ.

144-149 θεοτ. TR, 60 146 μητέρων] ἀγγέλων TR 148 τοῦ om. TR 149 Μαρία καὶ μῆτερ / καὶ δούλη τοῦ Θεοῦ ἡμῶν TR

IN SS. XL MARTYRES

Synaxarium, 521: Ἄθλησις τῶν ἁγίων καὶ ἐνδόξων τεσσαράκοντα μαρτύρων τῶν ἐν Σεβαστείᾳ τῇ πόλει μαρτυρησάντων κατὰ τοὺς καιροὺς Λικινίου· .... οὗτοι γὰρ ἐκ διαφόρων πατρίδων ὄντες ὑφ' ἑνὶ τάγματι ἐστρατεύοντο. Διὰ δὲ τὴν εἰς Χριστὸν ὁμολογίαν κατασχεθέντες καὶ εἰς ἐξέτασιν ἀχθέντες καὶ πεισθῆναι θῦσαι τοῖς εἰδώλοις μὴ βουληθέντας, πρῶτον μὲν λίθοις τὰς ὄψεις καὶ τὰ στόματα βάλλονται· αἱ δὲ βολαὶ οὐ μᾶλλον τούτους ἢ τοὺς βάλλοντας ἀντιστρεφόμεναι ἔπληττον. Ἔπειτα ἐν χώρᾳ καὶ ὥρᾳ χειμερινῇ γυμνοὶ διανυκτερεύειν κατεδικάσθησαν μέσον τῆς λίμνης τῆς πρὸ τῆς πόλεως. Ἔνθα ἑνὸς ἐξ αὐτῶν φιλοψυχήσαντος .... ὁ παρατηρῶν αὐτοὺς δήμιος καὶ φυλάττων εὐθὺς μετὰ τῶν ἁγίων ἀντὶ τοῦ λείποντος κατέστησεν ἑαυτόν, φῶς ἐν νυκτὶ περὶ τοὺς μάρτυρας ἰδὼν καὶ στεφάνους ἐφ' ἕκαστον αὐτῶν κατιόντας ἐξ οὐρανοῦ τεσσαράκοντα.....

Crypt. Δ.α. XVII = Ck, ff. 27v-31v
Paris. gr. 1563 = Pb, ff. 38-40v
Mess. gr. 163 = Mg, ff. 37v-42
Mess. gr. 139 = Ma, ff. 191v-193
Vallic. gr. E 54 = Ea, ff. 103v-105

Ἕτερος κανὼν φέρων ἀκροστιχίδα·
Θεοστεφῆ φάλαγγα μέλπω μαρτύρων.

Ἦχος β'.

ᾠδὴ α'. *Δεῦτε λαοί,*

Θεὸν ἡμῖν,
μάρτυρες οἱ τεσσαράκοντα,
νῦν εὐμενῆ ποιήσατε,

---

tit. Κανόνες δύο ἐν μιᾷ ἀκροστιχίδι Ck (primus canon inc. Θεοστεφῆ / φάλαγγα μέλπω μαρτύρων Χριστοῦ... MR IV, 52) ... Ἕτερος κανὼν εἰς τοὺς ἁγίους μάρτυρας μ' φέρων ἀκροστιχίδα τήνδε ... et in margine Θεοφάνους Pb Ἰω Ma
heirm. α' EE 37, n. 51, Cosmae

ταῖς προσευχαῖς ὑμῶν,
τοῖς εἰλικρινεστάτῃ
καρδίας διαθέσει
προσκαλουμένοις ὑμᾶς.

Ἐν οὐρανοῖς
τῆς τρισηλίου λαμπρότητος
μαρμαρυγαῖς λαμπόμενοι,
οἱ τεσσαράκοντα,
τοὺς ἐν γῇ πηγνυμένους
κρυμῷ τῷ τῶν κινδύνων
περισκεπάσατε.

Οἱ ἀρραγεῖς
τῆς εὐσεβείας καὶ ἄσειστοι
τῆς ἐκκλησίας πρόβολοι,
οἱ τεσσαράκοντα,
τὴν χριστώνυμον κλῆσιν
δεινῶς ταραττομένην
νῦν εἰρηνεύσατε.

θεοτ. * Σὲ οἱ πιστοὶ
καύχημα πάντες κεκτήμεθα,
καταφυγὴν καὶ δύναμιν
καὶ ἀγαλλίαμα
καὶ ψυχῶν σωτηρίαν,
ἐλπίδα τε καὶ τεῖχος,
θεοχαρίτωτε.

f. 28 ᾠδὴ γ'. *Στερέωσον ἡμᾶς*

Στρατὸς μαρτυρικὸς
καὶ παναρμόνιος,
χορεία

4 ἡμῶν Ck Pb 5 τοῖς] τῇ Pb 9 λαμπρότητος] θεότητος Mg 10 λαμπόμενοι] θαλπόμενοι Ea 22-28 θεοτ. MR III, 431 24 δύναμιν] στήριγμα MR; in Pb θεοτ. invenimus cuius initium sonat Ὑπερφυῶς τὸν ὑπὲρ πάντα, ed. in ETh, 238; Mg Ea alium θεοτ. tradunt, inc. Σὲ στηριγμὸν καὶ προστασίαν, MR IV, 246; in Ma θεοτ. deest
heirm. γ' EE 39, n. 53, Cosmae

μαρτύρων στεφανηφόρων,
τῷ δεσπότῃ παριστάμενοι
τοὺς ὑμᾶς εὐφημοῦντας περισώσατε.

Τῇ λίμνῃ τῶν παθῶν
κλυδωνιζόμενοι
καὶ σάλῳ
κινδύνων χαλεπωτάτων,
ἐφ' ὑμᾶς τοὺς τεσσαράκοντα
τοῦ Χριστοῦ στρατιώτας καταφεύγομεν.

Ἐν κόλποις Ἀβραὰμ
περιθαλπόμενοι
καὶ δόξης
ἐσθῆτι κεκοσμημένοι,
τοῖς κρυμοῖς τῶν περιστάσεων
δεδεμένον λυθῆναι δυσωπήσατε.

θεοτ. * Τοῦ ἄνθρακος χρυσοῦν
θυμιατήριον
τοῦ θείου,
ἀνύμφευτε, γενομένη,
τὸ δυσῶδες τῆς καρδίας μου
εὐώδιασον, μόνη ἀειπάρθενε.

Κάθισμα.

Ἦχος δ'. *Ταχὺ προκατάλαβε*

Τὴν μνήμην ὑμῶν
ἅπαντες ἀνευφημήσωμεν·
Χριστὸν γὰρ ἐκηρύξατε
ἐν τῷ σταδίῳ θερμῶς
καὶ πλάνην ἐπατήσατε·

32 στεφηφόρον Ck 45 τοὺς κρυμοὺς Ma Ea 46 δεδεμ[illegible] Pb Mg Ea δεδεγμένους Ma 47-52 θεοτ. MR IV, 53; Pb Mg Ea autem [illegible]. tradunt « Στερέωμα γενοῦ καὶ καταφύγιον » MR IV, 246; in Ma θεοτ. de[illegible]
heirm. primi καθ. ed. in MR II, 80; alterius MR IV, 175

ὅθεν καὶ παρρησίαν
πρὸς αὐτὸν κεκτημένοι
πρεσβεύσατε ὑπὲρ πάντων,
ἀθλοφόροι θεόπται,
ῥυσθῆναι ἡμᾶς πειρασμῶν
καὶ περιστάσεων.

Ἄλλο.

Ἦχος δʹ. *Ἀπεστάλη Γαβριὴλ*

Τεσσαράκοντα γλωσσῶν
ὄργανον θείων ἀθλητῶν
τῇ Σεβαστείᾳ κινεῖ
καὶ διηχεῖ κόσμῳ παντὶ
διὰ τοῦ πνεύματος πίστει κρουόμενον·
παύει τῶν παθῶν τὰ ἀλγήματα,
σβέννει καὶ ὡς πῦρ τὴν ἀσθένειαν
τῆς μαρτυρίας αἵμασιν ἐκφέρον
εὐεργεσίας τοῖς πέρασιν·
πρεσβείαις τούτων,
σωτήρ, αἰτοῦμεν,
σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἄλλο.

Ἦχος πλ. αʹ. *Τὸν συνάναρχον Λόγον*

Τῶν ἁγίων μαρτύρων τὸ ἐγκαλλώπισμα
.... = MR IV,51

f. 28v Ἄλλο.

Ἦχος πλ. δʹ. *Τὴν σοφίαν τοῦ Λόγου*

Τῷ Χριστῷ σταυρωθέντες
.... = MR IV,53

Ἄλλο.

Ἦχος δʹ. *Ἐπεφάνης σήμερον*

Τὸ σεπτόν σου στερέωμα
.... = MR IV,50

Ἄλλο.

Ἦχος πλ. δʹ. *Αὐλῶν ποιμενικῶν*

Συνεῖχεν ἡ ἀχλὺς
τῶν εἰδώλων τὴν κτίσιν
καὶ ἔπιπτον πολλοὶ
τῇ σκοτώσει τῆς πλάνης·
τότε ἐν Σεβαστείᾳ
ὥσπερ λαμπτῆρες οἱ τεσσαράκοντα
ἔλαμψαν ἐν τῇ πίστει,
ἀποσοβοῦντες πᾶσαν ἀσέβειαν
καὶ διελθόντες κρύους τε καὶ πῦρ
γαλήνην αἰτοῦνται ἡμῖν.

ᾠδὴ δʹ. *Εἰσακήκοα, κύριε,*

Φωτισμὸς ἡμῖν, μάρτυρες,
παρὰ Θεοῦ γεγόνατε, τὸ φέγγος
περιβεβλημένοι τὸ ἀκατάσκιον.

f. 29 || Ἡ θεόλεκτος πρέσβευε
συναγωγὴ μαρτύρων στεφηφόρων
ῥυσθῆναι κινδύνων τοὺς ἀνυμνοῦντάς σε.

heirm. καθ. MR II, 526; κάθ. om. Pb Mg
heirm. δʹ MR IV, 53 53 φωτισμῶν Ck 55 ἀ[illegible]σχετον **Ma**
57 στεφηφόρε Pb Ma

Φῶς ἀπρόσιτον, ἅγιοι,
τὸ τοῦ Χριστοῦ ἰδεῖν ἀξιωθέντες,
τοῖς ἐν σκότει λάμπειν καταξιώσατε.

Ἀπαστράπτοντες, ἔνδοξοι,
τῇ νοητῇ Χριστοῦ φωταγωγίᾳ,
πρὸς ἀκτῖνας θείας χειραγωγήσατε.

θεοτ. * Χειμαζόμενον κλύδωνι
βιοτικῷ ἐξάρπασον, παρθένε,
ἡ τῷ σῷ ἐλέει καθοδηγοῦσά με.

ᾠδὴ ε΄. *Ὁ τοῦ φωτὸς χορηγός*

Λύσσης αἱρέσεων
οἱ τεσσαράκοντα τανῦν ῥύσασθε
τὴν τοῦ Χριστοῦ
σεπτὴν ἐκκλησίαν,
ἐν ᾗ γεννηθέντες
τοσαύτης ἀξίας
καὶ δόξης ἐτύχετε.

Ἀναφανέντες ἡμῖν
οἱ τεσσαράκοντα Χριστοῦ μάρτυρες
θεοφεγγεῖς
πυρσοὶ καὶ λαμπτῆρες,
πυρσεύουσι πιστοῖς
τὴν τῆς εὐσεβείας
ὁδὸν τὴν σωτήριον.

61 κατηξιώσατε Ea 63-64 τῇ ἐκ θεοῦ σεπτῇ φωταγωγίᾳ / τοῖς ἐν σκότει λάμπειν καταξιώσατε Ma 64 ἀκτῖνα θείαν Pb Ea 65-67 θεοτ. MR III, 434; idemque om. Ma 66 βιοτικῶν MR 67 ἡ τῷ σῷ ἐλέει] πρὸς τὸν σὸν λιμένα MR; in Pb Mg Ea θεοτ. invenimus verbis ductum Ὑμνολογοῦντες, Ἄχραντε quod ETh, 189
heirm. ε΄ EE 38, n. 51, Cosmae 69 τανῦν] καὶ νῦν Pb, νυνὶ Ea 74 ἐτύχετε] ἐπέβητε Ea

Γῆθεν μετέστητε
πρὸς τὴν οὐράνιον σκηνήν, μάρτυρες,
ἔνθα, Χριστὸν
τὸν ἀγωνοθέτην
περιεστηκότες,
τῆς θείας χαρᾶς με
τυχεῖν ἀξιώσατε.

θεοτ. * Σοὶ τῇ τεκούσῃ Χριστόν,
τὸν τοῦ παντὸς δημιουργόν, κράζομεν·
« χαῖρε, ἁγνή·
χαῖρε, ἡ τὸ φῶς
ἀνατείλασα ἡμῖν·
χαῖρε, ἡ χωρήσασα
Θεὸν τὸν ἀχώρητον ».

f. 29v ᾠδὴ ϛ΄. *Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενοι*

Γρηγοροῦντες καὶ νήφοντες φύλακες
γένους τῶν ἀνθρώπων πεφήνατε, κράτιστοι,
καὶ πρεσβευταὶ δεήσεων,
συνεργοί τε φροντίδων κατέστητε.

Ἀπροσίτοις λαμπόμενοι κάλλεσιν
ἐν τῇ τοῦ Χριστοῦ βασιλείᾳ, πανεύφημοι,
τῶν πειρασμῶν λυτρώσασθε
τοὺς ὑμᾶς μετὰ πόθου γεραίροντας.

Μεμηνότων τυράννων πανάριστοι
πλάνης καθαιρέται γεγόνατε, ἅγιοι,
καὶ νῦν ἡμῖν βοήθεια
ὀξυτάτη καὶ τεῖχος γενήθητε.

84 ἔνθα] ἕνα Mg 89-95 θεοτ. MR III, 16 89 σὺ Ck 94 χωρέσασα Ck; Pb Mg Ea θεοτ. tradunt Ὡς ἀκατάληπτον MR IV, 247, id. om. Ma
heirm. ϛ΄ EE 34, n. 46, Joannis 105 πάλαι καθαιρέται τῆς πλάνης γεγόνατε Pb Mg Ma Ea καθηρέται Ck 107 γεννήθητε Ck

θεοτ. * Τὰ ποικίλα μου πάθη κατεύνασον,
μόνη ἀειπάρθενε μῆτερ ἀπείρανδρε·
σὺ γὰρ λιμὴν ἀχείμαστος
ἀνεδείχθης ἡμῖν τοῖς ὑμνοῦσί σε.

Κοντάκιον.

Ἦχος πλ. β΄. *Τὴν ὑπὲρ ἡμῶν*

Πᾶσαν στρατιὰν
....

Ὁ οἶκος.

Τῷ ἐν θρόνῳ
....

f. 30 ᾠδὴ ζ΄. *Εἰκόνος χρυσῆς*

Ἐπέστη φαιδρῶς
ἡ ἐτήσιος ὑμῶν μνήμη, πανόλβιοι,
λαμπρυνομένη τηλαυγέστατα
τῇ τῆς νηστείας φαιδρότητι·
ταύτην ἑορτάζοντες πίστει
σὺν ὑμῖν ἀναμέλπομεν·
« εὐλογητὸς εἶ, ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

Λυτῆρες παθῶν
καὶ φωστῆρες τηλαυγεῖς, κόσμου καθάρσιον,
πλάνης κατάλυσις, μεγαλόφωνα

108-111 θεοτ. ΕΤh, 176 109 ἀπείρανδρε] ἀνύμφευτε ΕΤh; Pb Mg Ea θεοτ. tradunt « Ἐπὶ σοὶ τὰς ἐλπίδας ἀνέθηκα » MR IV, 248, id. om. Ma. Κοντάκ. et οἶκ. ed. in MR IV, 55 id. κοντάκ. et οἶκ. om. Pb Ma κοντάκιον tantum iubet, textum vero omittit.
heirm. ζ΄ ΕΕ 39, n. 53, Cosmae vv. 117-118, 126-127, 134-135, 142-143 cdd. varie contrahunt laudem 117 ἀναμέλπουσιν Mg 122 μεγαλόφρονα Mg

τῆς ἀληθείας κηρύγματα,
ψεύδους στηλιτεύματα πᾶσιν
ἀνεδείχθητε ψάλλοντες·
« εὐλογητὸς εἶ, ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

Πυρσοὶ νοητοὶ
καταλάμποντες ἡμῖν ὤφθητε, μάρτυρες,
χειμαζομένους διασῴζοντες
καὶ ὁδηγοῦντες τοὺς πλέοντας
βίου τὴν κυμαίνουσαν ζάλην
τῷ Χριστῷ ἀναμέλποντες·
« εὐλογητὸς εἶ, ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

Ὡραία Θεῷ
καὶ ἀγγέλοις ποθητὴ τῶν τεσσαράκοντα
f. 30v ‖ ἡ θεοσύλλεκτος καὶ θεόπνευστος
καὶ φαιδροτάτη παράταξις,
θεία καὶ φρικτὴ παντευχία
κροτουμένη καὶ ψάλλουσα·
« εὐλογητὸς εἶ, ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

θεοτ. * Σὲ βάτον Μωσῆς
ἐν τῷ ὄρει τῷ Σινᾷ πυρπολουμένην, ἁγνή,
προεθεώρει τὴν ἐνέγκασαν
ἀκαταφλέκτως τὴν ἄστεκτον
αἴγλην τῆς ἀρρήτου οὐσίας,
ἑνωθείσης παχύτητι
σαρκὸς μιᾶς τῶν ἐν αὐτῇ
ἁγίων ὑποστάσεων.

128-135 trop. om. Ea 133 ἀναμέλποντας Mg 13[illegible] v. om. Mg 140 παντευχία] πανοπλία Pb Mg Ea 141 κροτουμένη] ἐκβοῶσα P[illegible] 142 post εὐλογητὸς cetera om. Mg 144-151 θεοτ. MR IV, 56; in Pb [illegible] Ea θεοτ. « Λυχνία φωτὸς . . . » MR IV, 249; θεοτ. om. Ma

ᾠδὴ η'. *Τὸν ἐν καμίνῳ τοῦ πυρὸς*

Μεταποιούμενοι ζωῆς
ἀληθοῦς τῆς ἐν Χριστῷ νῦν κρυπτομένης,
πρὸς τὴν διὰ τοῦ κρύους
ὀδυνηρὰν τελευτήν,
γενναῖοι,
στερρῶς ἐχωρήσατε,
ἄφεσιν αἰτοῦντες
ἡμῖν καὶ σωτηρίαν.

Ἀπὸ τῆς γῆς εἰς οὐρανοὺς
μεταβάντες, ἀθληταὶ στεφανηφόροι,
ἐκκλησία μαρτύρων,
τροπαιοφόρων χορός,
κινδύνων,
παθῶν, περιστάσεων
λύτρωσιν αἰτεῖσθε
ἡμῖν καὶ σωτηρίαν.

Ῥήξας θανάτου τὰ δεσμὰ
ὁ σωτὴρ τοῖς ἀθληταῖς νίκην παρέσχε
τὴν κατὰ τοῦ θανάτου·
οἱ τεσσαράκοντα γὰρ
τῷ κρύει
πυρούμενοι ἔψαλλον
καὶ τὴν σωτηρίαν
πιστοῖς πᾶσιν αἰτοῦνται.

f. 31 ‖ Τῶν πειρασμῶν τὰς προσβολάς,
τὰς ἐφόδους τῶν παθῶν, τὰς τῶν δαιμόνων
ἐπηρείας ὁ θεῖος
τῶν ἀθλοφόρων χορὸς
πρεσβεύων
ἐλαύνει σαφέστατα

heirm. η' ΕΕ 35, n. 47, Joannis 167 καὶ σωτηρίαν] εἰς τοὺς αἰῶνας Mg Ma Ea 174-175 σὲ ὑπερυψοῦμεν / εἰς πάντας τοὺς αἰῶνας Ma
vv. 171-175 S. Basilii Magni, Omelia in XL MM, PG XXXI, 517.

ἀπὸ τῶν ὑμνούντων
Χριστὸν εἰς τοὺς αἰῶνας.

θεοτ. * Τὸν ἐν τοῖς κόλποις τοῦ πατρὸς
ἀχωρίστως ὡς υἱῷ συγκαθημένῳ
τῇ ὑλώδῃ γαστρί σου
κατῳκισθέντα, ἁγνή,
ὑμνοῦμεν,
παρθένε, τὸν τόκον σου
καὶ ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ'. *Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον*

Ὑπερφυοῦς λαμπηδόνος
καὶ χαρᾶς ἀνεκφράστου
καὶ δόξης ἠξιώθητε τυχεῖν,
νῦν δὲ τοὺς πόθῳ τιμῶντας ὑμᾶς
πειρασμῶν καὶ κινδύνων
καὶ πονηρίας ῥύσασθε ἐχθρῶν,
τοῦ Χριστοῦ στρατιῶται,
μάρτυρες τεσσαράκοντα.

Ῥώμην, πανόλβιοι, θείαν
οὐρανόθεν λαβόντες
καὶ κράτος δεδεγμένοι τοῦ Χριστοῦ,
πλάνης διῶκται γεγόνατε,
φυγαδεύοντες πᾶσαν
τὴν τῶν εἰδώλων ἄστατον ἀχλὺν
καὶ φωτίζοντες κόσμον,
μάρτυρες τεσσαράκοντα.

f. 31v ‖ Ὡραιωθέντες τῷ κάλλει
τῆς σεπτῆς μαρτυρίας

184-191 θεοτ. Anth. II, σμα' 191 v. om. Ck; Pb θεοτ. tradit verbis ductum Νενεκρωμένους καὶ πρὸς χοῦν . . . ETh, 181; Mg Ea diversum θεοτ. praebent cuius initium sonat Ὁ τῆς κοιλίας σου καρπὸς MR IV, 249 197 ἐχθρῶν] παθῶν Ea
heirm. θ' ΕΕ 34, n. 46, Joannis

καὶ θείας γεγονότες κοινωνοὶ
φύσεως ὄντως, ἀγάλλεσθε
τῷ φωτὶ συγκραθέντες
τῷ λαμπροτάτῳ καὶ εἰλικρινεῖ,
τοῦ Χριστοῦ στρατιῶται,
μάρτυρες τεσσαράκοντα.

Νῦν τῷ Χριστῷ παρεστῶτες
εὐσεβεῖ παρρησίᾳ
καὶ ὅλῳ τῆς θεότητος φωτὶ
καταστραπτόμενοι, ἔνδοξοι,
τοὺς ὑμᾶς εὐφημοῦντας
αἴγλης ἐμφορηθῆναι τριλαμποῦς
ἐκτενῶς δυσωπεῖτε,
μάρτυρες τεσσαράκοντα.

θεοτ. * Νύμφη καὶ μήτηρ παρθένε,
τῶν ἀγγέλων τὰ πλήθη
τὸν σὸν καθικετεύουσιν υἱόν.
Δέξαι, ἡ μόνη ἐλπὶς τῶν πιστῶν,
καὶ εἰρήνην τῷ κόσμῳ,
νίκας τῷ φιλοχρίστῳ βασιλεῖ
καὶ ἡμῖν σωτηρίαν
τοῖς σὲ τιμῶσι δώρησαι.

216 παρεστῶτες] στρατευθέντες Mg 216-223 trop. Ma his vv. substituit Νενικηκότες τοῖς ἄθλοις / καὶ στεφάνους λαβόντες / ἐκ θείας τοῦ δεσπότου δεξιᾶς / νῦν δωρηθῆναι πρεσβεύσατε / εἰρήνην τῷ κόσμῳ, / νίκας τῷ φιλοχρίστῳ βασιλεῖ / καὶ ἡμῖν σωτηρίαν, / μάρτυρες τεσσαράκοντα 221 τριλαμποῦς] τηλαυγοῦς Mg 224-231 θεοτ. MR II, 71 — Pb θεοτ. refert « Ἐπιφανεῖσα, παρθένε » MR IV, 250, Mg Ea θεοτ. offerunt « Σεσαρκωμένον τὸν λόγον » MR IV, 250 225-226 σὺν ἀγγέλων χορείαις - τὸν σὸν υἱὸν ἱκέτευσον, ἁγνή Ma MR 227 δέξαι] πάντων Ma MR 228 καὶ] τὴν Ma MR 231 μάρτυρες τεσσαράκοντα Ck βραβεῦσαι τοῖς ὑμνοῦσί σε MR

IN SS. XL MARTYRES

Crypt. Δ.α. XVII = Ck, ff. 32-34

Ἕτερος κανὼν τῶν ἁγίων μαρτύρων.

Ἦχος πλ. β′.
⟨Ἐν τοῖς θεοτοκίοις « Γεωργίου »⟩

ᾠδὴ α′. *Ὡς ἐν ἠπείρῳ πεζεύσας*

Πάτερ, υἱὲ καὶ τὸ πνεῦμα
τὸ παντουργὸν
καὶ πανσθενουργόφωτον,
ἡ τρισήλιος μονάς,
τοῦ ὑμνεῖν συνέτισον ᾠδαῖς
καταχρέως τοὺς σεπτοὺς
νῦν τεσσαράκοντα.

Στόματι, δεῦτε, εὐφήμῳ
τὴν τετραπλῆ
τετραδεκαπύρσευτον
τῶν ἁγίων ξυνωρίδα
ἐν ᾠδαῖς τιμήσωμεν, πιστοί,
ἀνυμνοῦντες τὸν Χριστὸν
τὸν τούτους στέψαντα.

Τὴν τῆς στρατείας πρακτικὴν
ὡς ῥυπαρὰν
ἐν τῇ γῇ ἀφέμενοι

heirm. α′ EE 159, n. 224, Joannis 11 ξυνωρὶς

τοῦ Χριστοῦ οἱ ἀθληταί,
στρατιὰν ἐκτήσαντο στερρὰν
συμμαχοῦσαν ἐν δεινοῖς
ὡς νόμου φύλαξιν.

Εἰς τὴν τοῦ ἔθνους συμπλοκὴν
οἱ τοῦ Χριστοῦ
ἀθληταὶ βαλλόμενοι,
τὰς βολίδας ἀληθῶς
τοῦ ἁγίου πνεύματος πιστῶς
κεκτημένοι, τοὺς ἐχθροὺς
εἰς γῆν κατέρραξαν.

θεοτ. Γλῶσσα βροτῶν οὐκ ἰσχύει
τοῦ ἐξειπεῖν
σοῦ τὸν τόκον, πάναγνε·
συλλαβοῦσα γὰρ θεὸν
ὑπὲρ νοῦν ἐκύησας, ἁγνή,
βροτωθέντα καθ' ἡμᾶς
καὶ μὴ ἐκστάντα, ὃ ἦν.

ᾠδὴ γ'. *Οὐκ ἔστιν ἅγιος ὡς σὺ*

Οἱ θεῖοι μάρτυρες ὡς χοῦν
ἅπαντα τὰ τοῦ κόσμου
ἐβδελύξαντο, ἵνα
τῇ ἀνωτάτῃ τιμῇ
πλουτήσαντες τῷ Χριστῷ
εἰς αἰῶνας
πάντες τε αὐλίζωνται.

Τῷ θρόνῳ, ἅγιοι, Χριστοῦ
πάντοτε παρεστῶτες,
ὑπὲρ πάντων ἀπαύστως
δεήθητε τῶν πιστῶς

19 στρατίαν
heirm. γ' ΕΕ 159, n. 224, Joannis

τὴν παναγίαν ὑμῶν
ἐκτελούντων
μνήμην τοῦ ῥυσθῆναι φθορᾶς.

Τὰ κράτη ὄλεσον, Χριστέ,
τῶν τῆς Ἀγὰρ ἐν τάχει
πολεμούντων ἀθέως
τὰς πόλεις σου, ἀγαθέ,
καθυποτάσσων αὐτοὺς
ὡς δυνάστης
ἄνακτι θεόφρονι.

θεοτ. Ἐλπὶς καὶ καύχημα, λιμήν,
τεῖχος καὶ προστασία
σὺ ὑπάρχεις, παρθένε,
τοῖς ἱκέταις σου, τοῖς ἀεὶ
προσκυνοῦσι πιστῶς
ἐν εἰκόσι
σοῦ τὴν παναγίαν μορφήν.

ᾠδὴ δ'. *Χριστός μου δύναμις*

Τὰ πάθη, ἅγιοι,
τὰ τοῦ σωτῆρος Χριστοῦ
μιμησάμενοι ὄντως,
f.32ᵛ ‖ ὑπὲρ τὸ ζῆν
τὸ θανεῖν ἐκρίνατε
καὶ τοὺς αἰκίζοντας ὑμᾶς
κατῃσχύνατε, μακάριοι.

Ἐν μέσῳ ἤχθητε
κρυμοῦ, μακάριοι,
καὶ ἐν τούτῳ ἑστῶτες
ἐν οὐρανῷ

heirm. δ' ΕΕ 159, n. 224, Joannis

51 Gen. 16, 1

ἤρατε τὰ ὄμματα,
ὁ ποὺς δὲ αἵματι βαφεὶς
τῷ οἰκείῳ πρὸς τὰ ἄνω μολεῖ.

Ἰούδας ῥέριπται,
Ματθίας, κέκληται,
τῶν μαρτύρων δὲ πάλιν
ὁ προσδραμὼν
τῷ λουτρῷ ἐλύθη εὐθύς,
Χριστὸς δὲ πάλιν ἀντ' αὐτοῦ
τὸν φρουρέα ἐπεσπάσατο.

Ὢ ξένον θαύματος·
πῶς ὁ φυγὼν τὸν κρυμὸν
ἐν τῇ θέρμῃ προῆλθε
τῶν ἀθλητῶν
εἷς, καθάπερ γέγραπται,
καὶ τὴν ψυχὴν
ζημιωθείς,
ὁ φιλόζωος ἀπώλετο.

θεοτ. Ὡς τεῖχος κέκτημαι,
ὡς προστασίαν ἡμῶν,
ὡς λιμένα δοξάζω
καὶ ὡς σκηνὴν
σέβω σε τοῦ πάντων θεοῦ,
χριστιανῶν τὸ ἀσφαλές,
θεοτόκε, καταφύγιον.

ᾠδὴ ε'. *Τῷ συνδέσμῳ τῆς ἀγάπης*

Τῷ συνδέσμῳ τῆς ἀγάπης
συνδεσμούμενοι οἱ τεσσαράκοντα,
ὥσπερ ἄρνες ἐν λειμῶνι
ἐν τῇ λίμνῃ ὄντες ἐχόρευον,
μὴ δεδιότες τῶν διωκόντων θυμὸν
ἀγάπῃ ὁδηγούμενοι τῇ τοῦ κυρίου.

83 αὐτόν   heirm. ε' EE 163, n. 229, Cosmae   104 δεδειότες

Τῇ τῶν λίθων μὲν προστάξει
ὁ παράνομος οἰόμενος τύραννος
καταβάλαι τοὺς ἁγίους,
τὸ αὐτὸ πεπονθὼς ἀναδέδεικται·
στραφεὶς ὁ λίθος κατ' αὐτοῦ ὥρμησεν,
πλήξας καὶ συντρίψας τούτου τὴν ὄψιν.

Ἐπὶ φέρτρῳ προσαχθέντες
οἱ τεσσαράκοντα μάρτυρες ἤλασθε
τῷ πυρὶ τελειωθῆναι
καὶ ῥιφῆναι ὕδατι ναύοντι,
ἐν ᾧ ῥιφέντες λάμπετε, οἷά περ
λύχνοι φαεινότατοι Θεοῦ τοῦ Λόγου.

Νεανίας κατελήφθη
ἔτι ζῶν καὶ ἔμπνους ὑπάρχων, φησίν,
ὃν ἡ μήτηρ ἀραμένη
ἐν τοῖς ὤμοις τοῦτον, ἐβόα σαφῶς·
« δεῦρό μοι, τέκνον, μετὰ τῶν σῶν φοιτητῶν
καύθητι τὸ σῶμα, λάμπον ὡς λύχνος ».

θεοτ. Ῥητορεύειν οὐκ ἰσχύει
τὰ παράδοξα τῆς λοχείας σου
f. 33 || γλῶσσα βρότειος, παρθένε,
ἀλλ' ἡττᾶται ὄντως καὶ πέπαυται·
σαρκὶ γὰρ τίκτεις τὸν ἐπὶ πάντων Θεόν,
μένεις μετὰ τόκον δὲ πάλιν παρθένος.

ᾠδὴ ς'. *Τοῦ βίου τὴν ⟨θάλασσαν⟩*

Ἐξέστησαν τύραννοι
οἱ διώκοντες ὑμῶν
τὸ τῆς ἀνδρείας εὔτολμον·
πρὸς κρυμὸν γὰρ εἰσήλθετε παγετοῦ,
βαφέντος τοῦ σώματος
ἐν τῷ αἵματι, θεῖοι τεσσαράκοντα.

124 ῥητορεύων
hierm. ς' EE 159, n. 224, Joannis

Πιστῶς τοὺς προστρέχοντας
ἐν τῷ τεμένει ὑμῶν
τῷ ψυχοσώστῳ, ἅγιοι,
ἐκ παντοίων λυτρώσασθε πειρασμῶν,
ὡς ἔχοντες πάντοτε
ἀφθονόπλουτον χάριν, ἰαμάτων πηγάς.

Τοὺς πόθῳ τὴν πάνσεπτον
μνήμην σέβοντας ὑμῶν,
μάρτυρες πανᾳοίδιμοι,
ἐκ παντὸς ἀφαρπάσατε πονηροῦ,
ὀργῆς τε καὶ θλίψεως,
καὶ ἐχθρῶν τῶν τῆς Ἀγάρ, τεσσαράκοντα.

θεοτ. Γαλήνη ὑπάρχεις μοι
τῷ ἐν πταίσμασι δεινοῖς
νηχομένῳ ἑκάστοτε·
κατεύνασον, παρθένε, τὸν κατ' ἐμοῦ
πανάγριον κλύδωνα,
ὡς τεκοῦσα τὴν πάντων εἰρηναίαν ζωήν.

ᾠδὴ ζ'. *Ἄφραστον θαῦμα*

Σαρακοντάδος
τὴν ἰσοτύπωτον φάλαγγα
τῶν μαρτύρων
στέψωμεν ᾠδαῖς·
σταυροῦ γὰρ ἰσχὺν
ἔχοντες, κατέβαλον
πλάνην εἰδώλων,
ἀπαύστως μελῳδοῦντες·
« λυτρωτὰ ὁ Θεός, εὐλογητὸς εἶ ».

Ἡ Σεβαστεία
καταγλαΐζεται σήμερον,

heirm. ζ' ΕΕ 164, n. 231, Cosmae

ταῖς ἀκτῖσι
στίλβουσα τῶν νῦν
αὐτῆς βοηθῶν,
θεῖοι τεσσαράκοντα,
καὶ ἐγκαυχᾶται
εἰς πᾶσαν οἰκουμένην
τῶν λειψάνων αὐτῶν καταπλουτοῦσα.

Τοὺς ἐν εἰκόνι
τὴν παναγίαν μορφὴν ὑμῶν
προσκυνοῦντας
σκέπετε ἀεί,
Χριστοῦ ἐρασταί,
θεῖοι τεσσαράκοντα,
ἐκ πάσης βλάβης,
τυχεῖν δὲ τῆς ἐκεῖθεν
αἰωνίου ζωῆς ὑμῶν πρεσβείαις.

Τὸν ἀδικίαν,
Χριστέ, εἰς ὕψος λαλήσαντα
ἐν θαλάσσῃ
πόντισον ταχύ,
Ἀγὰρ τὴν ἡμῶν
ἄμετρα καυχώμενον
f. 33^{v} || καὶ ἐκπορθοῦντα
τὰς πόλεις σου καὶ χώρας,
ταῖς πρεσβείαις αὐτῶν τῶν ἀθλοφόρων.

θεοτ. Ἰδού, παρθένε,
ὁ Ἠσαΐας ἐκραύγαζεν,
τὸν σὸν τόκον
ἔκπαλαι βοῶν·
« παρθένος ἁγνὴ
τέξεται υἱὸν ἐν σαρκί,
εἰς σωτηρίαν
ἡμῶν τῶν μελῳδούντων·
λυτρωτὰ ὁ Θεός, εὐλογητὸς εἶ ».

ᾠδὴ η΄. *Νόμων πατρῴων οἱ μακαρισταὶ*

Συμφώνως πάντες εὐφημήσωμεν
τὴν τῶν μαρτύρων πίστει τετραδεκάριθμον,
καὶ συνάψαντες κατ᾽ ὄνομα
χορείαν, ἀνυμνοῦμεν
σὺν Ἀκακίῳ,
Φλάβιον, Γοργόνιον ὁμοῦ,
Ἀθανάσιον, Κλαύδιον,
Λυσίμαχον, Κυρίων
Ἡράκλειον, Θεόδουλον, πάντας
σὺν τῷ Θεοφίλῳ,
Γορδιανῷ, Μικάλλῳ.

Ὠιδαῖς ᾀσμάτων μεγαλύνωμεν
σὺν Ἡσυχίῳ Εὔτυχον καὶ Λεόντιον,
Σαρκεδόν, Πρῖσκον, Μελέτιον,
Σισσίνιον, Ξανθίαν,
σὺν Ἀλεξάνδρῳ
Κάνδιδον καὶ Δόμνον τοὺς κλεινούς,
Ἰωάννην καὶ Σμάραγδον,
Ἐλιανόν τε ἅμα,
Δομέτιον καὶ Γάϊον, πάντας,
ὅπως ταῖς πρεσβείαις
αὐτῶν σωθῶμεν πάντες.

Ἐν τῇ ἀγήρῳ παριστάμενοι
τῇ τοῦ κυρίου λήξει Ἠλίας, Ἀέτιος,
Φιλοκτήμων, Οὐαλλέριος,
Βιβιανός, Μελίτων
σὺν τῷ Κυρίλλῳ,
Εὔτυχος καὶ Σευηριανὸς
καὶ Ἀγλάϊος, Οὐάλης,
Εὐνοϊκός τε ἅμα,
ἀπαύστως ὑπὲρ πάντων αἰτεῖσθε
τῶν ἐπιτελούντων
ὑμῶν τὴν θείαν μνήμην.

---

heirm. η΄ ΕΕ 163, n. 229, Cosmae 207 πάντες 218 πάντες

Καλῶς τὸν δρόμον ἐκτελέσαντες,
τὴν ἀκραιφνῆ δὲ πίστιν πᾶσι κηρύξαντες,
τοὺς στεφάνους ἐκομίσασθε
ἀξίως οὐρανόθεν,
καὶ ἐν τῷ κόλπῳ
λάμπετε τοῦ θείου Ἀβραάμ,
ἐν σκηναῖς αὐλιζόμενοι
πιστῶς ταῖς οὐρανίαις·
Χριστὸν ἐκδυσωπεῖτε ἀπαύστως,
ὅπως ἐκ παντοίας
ῥυσθῶμεν καταδίκης.

θεοτ. Ὅρους παρῆλθες τοὺς τῆς φύσεως,
ἐν τῇ γαστρί σου, πάναγνε, συλλαβοῦσα Θεόν,
προνυμφεύσαντος τοῦ πνεύματος
ἐν σοὶ τοῦ παναγίου·
καὶ τοῦτον πᾶσι
f. 34 || τέτοκας Θεόν τε καὶ βροτόν,
τῆς πατρῴας λυτρούμενον
γηγενεῖς ἁμαρτάδος·
υἱοὺς γὰρ τοὺς τῆς Ἀγὰρ ἐν τάχει
ὄλεσον, παρθένε,
ταῖς θείαις σου πρεσβείαις.

ᾠδὴ θ΄. *Τὴν τιμιωτέραν τῶν Χερουβὶμ*

Δεῦτε ὁμοφρόνως, πάντες πιστοί,
στέψωμεν ἐν ὕμνοις
τῶν μαρτύρων τὴν θεαυγῆ
χορείαν, βοῶντες
τῷ σωτῆρι τῶν ὅλων·
« εὐχαῖς αὐτῶν, οἰκτῖρμον,
πάντας ἐλέησον ».

Σώσατε τὸν κόσμον ἐκ πειρασμῶν,
μάρτυρες κυρίου

---

heirm. θ΄ ΕΕ 163, n. 230, Cosmae

τεσσαράκοντα, οἱ καλῶς
τὸ τέλος τοῦ βίου
πιστῶς ἐκπερακότες
καὶ δόμων οὐρανίων
νῦν αὐλιζόμενοι.

Θεῖοι τεσσαράκοντα οἱ σεπτοί,
θρόνῳ παρεστῶτες
τοῦ τῶν ὅλων δημιουργοῦ,
κἀμοῦ τοῦ ἀθλίου
ἀπαύστως μνημονεῖτε
ἐκ πάσης λυτρωθῆναι
μὲ τῆς κολάσεως.

Ἄραψ καταπόντισον πανστρατί,
νίκας δὲ παράσχου
οὐρανόθεν τῷ βασιλεῖ,
καὶ ταῖς ἐκκλησίαις
σταθηρὰν τὴν εἰρήνην
πρεσβείαις, ὦ παντάναξ,
τῶν τεσσαράκοντα.

θεοτ. * Ὕψωσον τὸ κέρας χριστιανῶν,
πλάτυνον τὴν πίστιν,
χορηγοῦσα πᾶσι χαράν,
παρθένε ἁγία,
καὶ λύτρωσαι κινδύνων
τοὺς πίστει ἀνυμνοῦντας
καὶ μεγαλύνοντάς σε.

282-288 θεοτ. DMS V, 357

10 MART. *CANON* XV

IN SANCTUM CODRATUM ET SOCIOS MARTYRES

Synaxarium, 523: Ἄθλησις τῶν ἁγίων μαρτύρων Κοδράτου, Διονυσίου, Κυπριανοῦ, Ἀνέκτου, Παύλου καὶ Κρίσκεντος. Οὗτοι ὑπῆρχον ἐκ Κορίνθου ..... Ὁ δὲ ἅγιος Κοδρᾶτος κομιδῇ νήπιος καταλειφθείς, τῆς μητρὸς ἀποιχομένης αὐτοῦ, παραδόξως ἐτρέφετο, νέφους ἐπ' αὐτὸν συνισταμένου καὶ χορηγοῦντος τροφήν. Ἤδη δὲ ἐν νεανίσκοις τελοῦντι συνήθεις οἱ εἰρημένοι γεγόνασιν ἅγιοι· ἤρχετο δὲ πάντων ὁ ἅγιος Κοδρᾶτος καὶ ἐδίδασκεν αὐτοὺς τὴν ἀλήθειαν. Μετὰ δὲ χρόνον τινὰ ὑπὸ τῶν εἰδωλολατρῶν διαβληθέντες καὶ συλληφθέντες διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν, τυφθέντες σφοδρῶς καὶ βασανισθέντες ξίφει τὰς κεφαλὰς ἀπετμήθησαν.

Crypt. Δ.α. XVII = Ck, ff. 35-39v
Vat. gr. 1508 = Vf, ff. 212-215

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Τριττὴ ξυνωρὶς ἐξυμνείσθω μαρτύρων.
⟨Ἐν τοῖς θεοτοκίοις⟩ Κ⟨λ⟩ήμεντος.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ἁρματηλάτην Φαραὼ ἐβύθισε*

Τῆς τῶν μαρτύρων ἑορτῆς τὰ αἴσια
δεῦτε κροτήσωμεν,
τὸν τῆς αὐτῶν νίκης
αἴτιον γεραίροντες,
Χριστὸν τὸν παντοδύναμον,
δι' οὗ χαίρει Κοδρᾶτος,

tit. Μηνὶ μαρτίῳ ι'. τοῦ ἁγίου μάρτυρος κοδράτου τοῦ ἐν κορίνθῳ καὶ τῶν σὺν αὐτῷ Ck. In eodem cd. duos canones odis alternatis invenimus. Prior inc. Μαρτύρων ἱερῶν ἱερῶς ἀθλησάντων MR IV, 62, sequitur ἕτερος κανὼν φέρων ἀκροστιχίδα τήνδε· τριττὴ ξυνωρὶς ...
heirm. α' EE 219, n. 314, Joannis 3 καὶ τὸν τῆς νίκης στέφος Ck τὸν τῆς αὐτοῦ νίκης Vf

τοῖς ὕμνοις νῦν πυκαζόμενος
καὶ πρὸς τῶν συνάθλων ταττόμενος.

Ῥωμαλεότητι φρενῶν τὸν τύραννον,
σκαιοβουλίαν σαφῶς
διατεμών, μάρτυς,
κόσμου καὶ τοῖς πάθεσιν
ἀφέμενος, τὴν ἄμεινον
ᾑρετίσω βιοτήν,
Χριστοῦ τὰ πάθη δεχόμενος
καὶ τοῖς αἰκισμοῖς ἀγαλλόμενος.

Ἱερωτάτης στρατιᾶς ὁμήγυριν
περιφραξάμενος,
ἀθλητικοῖς πόνοις
καὶ σοφοῖς σου δόγμασιν
ἐλέγξας τὸν ἀλάστορα,
γενναιότατον ὤφθης
τῷ βίῳ, μάρτυς, παράδειγμα,
ὡς διὰ θανάτου ζωὴν εἰληφώς.

Τῆς καθαρᾶς καὶ ἀμωμήτου πίστεως
ὑπεραθλήσαντες,
εἰς ἀμοιβὴν πόνων
πέτρα ἡ ἀκρότομος
πηγὴ θαυμάτων πέφυκεν,
προμηνύουσα ἔνθεν
τῆς δόξης ὑμῶν τὸ ἄφθονον,
μάρτυρες κυρίου πανεύφημοι.

θεοτ. * Κυοφορεῖς τὸν ὑπὲρ φύσιν, ἄχραντε,
ἐν σοὶ σκηνώσαντα,
τὸν τοῦ πατρὸς Λόγον
ἐν ἁγίῳ πνεύματι,
δυσὶ μὲν ἐν ταῖς φύσεσιν

7 πυραζόμενος Vf 9-16 trop. om. Vf 23 μάρτυς] μάκαρ Vf 30 προμηνύουσα] ἐμφανίζουσα Vf 31 ... ὑμῶν τε τὸ ἄφθαρτον Vf 32 κυρίου πανεύφημοι] Χριστοῦ γενναιότατοι Vf 33-40 θεοτ. MR II,81

καὶ θελήσεσιν ὄντα
ἐν ὑποστάσει ἀτρέπτως μιᾷ,
ἧς καὶ τὴν μορφὴν ἀσπαζόμεθα.

f. 35v ᾠδὴ γ'. *Ὁ στερεώσας κατ' ἀρχὰς*

Τὴν ἐν τῷ βίῳ τηλαυγῶς
διαπορθμεύων πορείαν
ὁ ἰσάριθμος χορὸς τῶν μαρτύρων,
τῆς ἀπιστίας τῶν ἐχθρῶν
πρὸς λίθον οὐ προσέκοψαν
οἱ ἀπλανεῖς ὁπλῖται,
λείους εὑρόντες τὰς τρίβους Χριστοῦ.

Ἡ θεορρήμων διδαχὴ
τῆς σῆς σοφίας, Κοδρᾶτε,
τῇ τῶν ἔργων βεβαιουμένη προσθήκῃ,
χορὸν μαρτύρων εὐκλεῆ
ἐπισυνῆψε πόθῳ σοι·
Κυπριανὸς γὰρ ἄρτι
τὰ ἀδελφά σοι φρονῶν συναθλεῖ.

Ξυρὸν τὴν γλῶσσαν τῶν ἐχθρῶν
ἠκονημένον προβλέπων,
ὡς στρεβλὸν κατετροπώσατο τόξον,
καὶ διδάσκων εὐσεβῶς
καὶ πάσχων ἐν ταῖς μάστιξιν,
ὁ ἱερὸς Κοδρᾶτος
λόγοις σοφίας κρατεῖ τῶν ἐχθρῶν.

Ὕδωρ θαυμάτων παροχή,
ὕδωρ αἱμάτων σταγόνες

39 δ' ἀτρέπτως MR
heirm. γ' EE 219, n. 314, Joannis 43 μαρτύρων] δικαίων Vf 44 ἀπιστείας Ck 45 λίθων Ck 48 In Vf trop. inc. Ἡ θεορρήμων διδαχή, sed vv. 49-54 substituuntur versibus 56-61 subsequentis strophae.

τῶν μαρτύρων ἡ πηγὴ ἀνεδείχθη,
ἧς τὴν χάριν δαψιλῶς
κατατρυφῶντες κράζωμεν·
«ταῖς ἱκεσίαις, σῶτερ,
τῶν ἀθλοφόρων σου σῶσον ἡμᾶς».

θεοτ. Ἡ ἀπειρόγαμος νηδὺς
τὸν ἀπερίληπτον Λόγον
εὐδοκίᾳ τοῦ πατρὸς καὶ συνεργίᾳ
θείου πνεύματος, αὐτὸν
f. 36 || σωματοφόρον τέτοκεν,
οὗ τῆς μορφῆς τὸ εἶδος
δόγμασι θείοις σεβόμεθα.

Κάθισμα.
Ἦχος δ'. *Ταχὺ προκατάλαβε*

Πορφύραν ἐξ αἵματος
περιβαλλόμενοι,
κυρίῳ παρίστασθε
τῷ τοῦ παντὸς βασιλεῖ,
πανεύφημοι μάρτυρες,
πέτρα δὲ δεξαμένη
τὸ σεπτὸν ὑμῶν αἷμα,
ὕδωρ ἀναπηγάζει
χορηγοῦν πᾶσαν ῥῶσιν
τοῖς νόσῳ κινδυνεύουσιν,
θεομακάριστοι.

ᾠδὴ δ'. *Σύ μου, Χριστέ, κύριος*

Νόμον ἡμῖν
ἔγγραφον ὡς διαθήκην καινὴν
ἀναπτύξας,

73 σωματοφόρος γέγονεν Ck
heirm. καθ. MR II,80; in Vf κάθ. invenimus cuius initium sonat: Τῇ καρτερίᾳ τῶν δεινῶν MR IV, 63
heirm. δ' EE 219, n. 314, Joannis 77 καινὴν] καὶ νῦν Vf

μάρτυς, κατετράνωσας
τὴν ἐν ἀρχῇ κτίσιν τοῦ Θεοῦ
καὶ τὴν ἡμετέραν
τοῦ γένους αὖθις προέλευσιν,
Χριστοῦ τὴν παρουσίαν
ἐκ παρθένου προφαίνων,
ἀμυήτων τὴν γνῶσιν συνέχεας.

Ὡς παιδευτὴς
ἄριστος, ὡς ἀθλητὴς κραταιὸς
θείοις λόγοις,
ἔργοις τε ἀνδρείας Χριστοῦ,
τὴν νεολαίαν τῶν ἀθλητῶν,
μάρτυς, ὀχυρώσας,
f. 36v βασά||νων κρείττους ἐπέδειξας·
ἰδοὺ γὰρ συναυξάνει
τὸν χορόν σου, παμμάκαρ,
Διονύσιος νῦν συναθλῶν σοι πιστῶς.

Ῥητορικὸν
ἤμβλυνας μένος, πολύαθλε,
τῇ σοφίᾳ,
καὶ τῇ εὐνομίᾳ σου·
δι' ἀμφοτέρων ταύτην ἑλών,
ῥήτωρ ἀληθείας
καὶ μάρτυς τῆς εὐσεβείας ἐδείχθης·
διὸ σὺν τοῖς συνάθλοις,
ἀθλοφόρε κυρίου,
ὑπερεύχου πιστῶς τῶν ὑμνούντων σε.

Ἰδοὺ πηγὴ
βρύουσα θαυμάτων χάριτας
αὕτη πέλει,
ἔνθα, τὸ μακάριον
οἱ εὐσεβεῖς μάρτυρες Χριστοῦ
πέρας εἰληφότες,

87 κραταιῶς Ck 96-105 trop. om. Vf 96 ῥητορικῶν Ck 100 ταύτην scil. νεολαίαν v. 90 108 πέλει] ἐστὶν Ck

στεφάνων δόξης ἐπέτυχον·
τὰ αἵματα γὰρ τούτων
τὴν ἀκρότομον πέτραν
ῥωστικὴν πρὸς πηγὴν μετετρέψαντο.

θεοτ. Μόνη ἁγνὴ
πέφυκας καὶ μετὰ γέννησιν
μόνη ἔφυς
ἄνανδρος θηλάζουσα
τὸν τοῦ πατρὸς Λόγον ἀψευδῆ,
πνεύματι ἁγίῳ
λαβόντα δούλου μορφὴν καθ' ἡμᾶς,
παρθένε θεοτόκε,
οὗ τὴν θέαν τιμῶντες,
τῆς μορφῆς τὴν ἐμφέρειαν σέβομεν.

ᾠδὴ ε'. *Ἵνα τί με ἀπώσω*

Συνεσχέθησαν πάντες
διωγμῷ τε ἄρχοντες τῇ καρτερίᾳ ὑμῶν·
γλυκασμὸν γὰρ ὥσπερ
f. 37 τὴν πικρὰν τῶν βασάνων ὠμότητα
ἀκλινῶς φέροντες, τῶν τοῦ Χριστοῦ
μετ' εὐφροσύνης
τρυφηταὶ ἀγαθῶν ἀνεδείχθητε.

Ἐπαυξῶν σου τὸν θεῖον
τῆς στρατολογίας σου συνασπισμόν, ἀθλητά,
τῇ πειθῷ τῶν ἔργων
καὶ σοφῇ παραινέσει τῶν λόγων σου,
εἰς Χριστοῦ μάρτυρας συνοικητήν,
Κοδρᾶτε, φέρεις
τὸν στερρὸν καὶ μακάριον Ἄνεκτον.

---

120 ἀψευδῆ] ἀληθῆ Vf 124 οὗ τὴν μνήμην φρουροῦντες Vf
heirm. ε' EE 219, n. 314, Joannis 126 συνησχύνθησαν Vf 127 οἱ ὦμοί τε ἄρχοντες τὴν καρτερίαν ὑμῶν Vf 130 τὸν Ck 133 ἐπαυξάνων τὸν θεῖον Vf 137 εἰς χορὸν μαρτύρων συνεκτικῶς Vf 139 στερρὸν] σεπτὸν Vf

Ξυνωρὶς ἡ τριττή σοι,
Παῦλος ὁ ἀοίδιμος, Κρίσκης ὁ σύναθλος,
ἐπαξίως ὤφθη
γενναιότατος ὄντως ἀκέραιος,
συναθλοῦσα πιστῶς καὶ κραταιῶς,
Κοδρᾶτε μάρτυς,
τὸν χορὸν τῶν ἀστέρων πληρώσασα.

Ὑφαπλώσαντες χεῖρας,
πίστει ἀρυσώμεθα ναμάτων χάριτας
ἐξ αἱμάτων θείων
εἰς ὑδάτων κρουνοὺς ἀμειφθέντας ποτέ·
τὸ γὰρ θεῖον πέρας τῶν ἀθλητῶν
τὴν εὐρωστίαν
τῶν σταγόνων ἡμῖν ἐκαινούργησεν.

θεοτ. Ἐν δυσί τε τελείαις
φύσεσι γινώσκομεν ἕνα σε κύριον,
ἐνεργείαις ἄμφω
καὶ θελήμασιν ὄντα ἀσύγχυτον,
τὸν υἱὸν τοῦ Θεοῦ ἐκ γυναικὸς
λαβόντα σάρκα,
οὗ τὴν θέαν τιμῶμεν τοῖς πίναξιν.

ᾠδὴ ϛ'. *Ἱλάσθητί μοι, σῶτερ*

f. 37v Μετάρσιοι τῇ σπουδῇ
τοῦ κρείττονος ἐπαιρόμενοι,
ἀλγύνας τῶν αἰκισμῶν
οἱ μάρτυρες ἥλαντο,
σωμάτων τὴν κάκωσιν
τῆς ἐνθέου δόξης
τῇ ἐλπίδι ἰατρεύοντες.

140-146 trop. om. Vf 143 pro γενναιοτάτη . . . ἀκεραία 150 ἀνηφθέντας Ck 153 ἐκενούργησεν Ck 155 γινώσκομεν] γνωρίζομεν Vf 157 θελήμασιν ὄντα] θελήσεσιν ὄντως Vf 158 ὦ υἱὲ Θεοῦ ἐκ γυναικὸς Vf 160 οὗ] ἧς Vf
heirm. ϛ' EE 220, n. 315, Joannis 163 ἀλγεινὰ Vf 164 ἥλαντο] ἤνεγκαν Vf

Νεότητι τῆς σαρκὸς
τὸ πρέπον μὴ λυμηνάμενοι,
δυνάμει δὲ τῆς ψυχῆς
εἱρκταῖς καὶ βασάνοις πολλαῖς
τὴν πλάνην νεκρώσαντες,
τὸ διὰ τοῦ ξίφους
μακάριον τέλος ἤρασθε.

Ἐν αἰκισμοῖς καρτερός,
ἐν λόγοις δὲ κραταιότερος
ἐδείχθης, μάρτυς Χριστοῦ,
Κοδρᾶτε πανεύφημε·
διὸ τῆς εὐκταίας σου
καὶ τῶν σῶν συνάθλων
προσευχῆς τὴν χάριν δίδου ἡμῖν.

Ἰάματα δαψιλῆ
καὶ θαύματα δαψιλέστερα
τὰ αἵματα τῶν σοφῶν
μαρτύρων προχέουσιν,
τὴν χάριν μηνύοντα
τῆς αὐτῶν ἀξίως
αἰωνίου ἀναπαύσεως.

θεοτ. Νηδύος ὤφθη ἑκὼν
ἐξ ἀπειράνδρου σαρκούμενος
ὁ ἄσαρκος ὡς Θεὸς
Χριστός, σαρκοφόρος δὲ
ὡς ἄνθρωπος πέφυκεν,
οὗ τῆς ἐμφερείας
οἱ πιστοὶ τὸ εἶδος σέβομεν.

Κάθισμα.

Ἦχος δ'. *Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ*

Τῇ καρτερίᾳ τῶν δεινῶν

....

171 εἱρκτῇ Vf 175-181 trop. om. Vf 183 θαύματα] θύματα Ck 184 αἵματα] νάματα Vf 187 ἀξίας Ck 188 αἰωνίας Ck 189 ὤφθης Vf 193 πέφυκας Vf

κάθ. MR IV, 63

ᾠδὴ ζ'. *Οἱ ἐκ τῆς Ἰουδαίας*

f. 38 Σοφιζόμενον μάτην
τῇ τῶν λόγων κομψείᾳ
τὸν ἀλογίας κριτὴν
σοφίας σου τοῖς λόγοις
καὶ γνώμῃ καρτερίας
προαπέδειξας φλήναφον,
οὐ συνειδότα βοᾶν·
« Χριστέ, εὐλογητὸς εἶ ».

Θαρσαλέῳ τῇ πίστει
καὶ ψυχῆς εὐτολμίᾳ
οἱ γενναιότατοι
ἐξάπτοντες ἀλλήλοις
πρὸς μάστιγας, πρὸς ξίφη
ὡς πρὸς δόξαν ἐχώρησαν,
θανεῖν ἑλόμενοι
ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ.

Ὡς νεότητι πάντες
καὶ τῇ πίστει οἱ νέοι
ὄντες ὁμήλικες,
κατάλληλον τῆς νίκης
τὸ ἄνωθεν βραβεῖον
σὺν τῷ γέροντι ἤραντο,
Χριστῷ πρεσβεύοντες
εἰς σωτηρίαν ἡμῶν.

Μυστικῆς εὐωδίας
καὶ ὑδάτων θεόμβρων
ὁ τῶν μαρτύρων σηκὸς
ἀθρόως ἐπληρώθη·
ἐξέστησαν τὰ πλήθη

heirm. ζ' EE 224, n. 321, Joannis 196-203 trop. om. Vf 204 θαρσαλέα Vf 208 ξίφος Vf 209 πρὸς] καὶ Vf 212-219 t[illegible] om. Ck, sed primam litteram strophae Ω am. exaraverat 223 πλ[illegible]θεῖσα Vf

τῶν πιστῶν καὶ ἐπλούτησαν
ὀσμὴν ζωῆς πρόξενον
καὶ νόσων καθαρσίαν.

θεοτ. * Τὸ ἡμέτερον ὅλον
ἐκ παρθένου φορέσας
δίχα τροπῆς, Ἰησοῦ,
ταῖς φύσεσι διπλοῦν σε,
ἀλλ' ἕνα ὑποστάσει
πατρικῶς σε κηρύττομεν,
σοῦ καὶ τὸ εἶδος πιστῶς
τυποῦντες προσκυνοῦμεν.

ᾠδὴ η'. *Ἑπταπλασίως κάμινον*

f. 38v Ἀειλαμπεῖς, ἰσάριθμοι
τῶν προκρίτων ἀστέρων, σαφῶς
ὤφθη τῶν μαρτύρων
ὁ χορός, τοῖς πράγμασιν
αὐγάζων τὰ πέρατα
τῆς ἐκκλησίας ἅπαντα
καὶ τοὺς πλανωμένους
πρὸς Χριστὸν ἐξαστράπτων,
ἰθύνει ἀναμέλπειν·
« ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Ῥητορικῆς ἀπήμβλυνας
τὰς τοῦ ψεύδους ἰδέας, σοφὲ
μάρτυς, ἀληθῶς
καὶ ὑποφήτης ἔνδοξος,
Κοδρᾶτε, δεικνύμενος·
οὐ γὰρ πρὸς βίαν ἤχθης δεινῶν,
ἀλλὰ νικηφόρος

227 κάθαρσιν Vf 228-235 θεοτ. MR II, 86 229 φορέσας | λαβόντα MR 234 σοῦ] ἧς Vf MR 235 σέβομεν ἐκτυποῦντες MR
heirm. η' EE 219, n. 314, Joannis 243 ἐξαστράπτων | ἐπιστρέφων Vf

ἀνεδείχθης κραυγάζων·
« οἱ παῖδες εὐλογεῖτε,
ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Τυραννικῷ προστάγματι
ἀπαχθέντες οἱ μάρτυρες,
ἤραντο ζωὴν
διὰ θανάτου ἄφθαρτον,
καὶ θαῦμα συνέδραμεν
τῇ τελευτῇ παράδοξον·
πέτρα γὰρ ἡ ἄνικμος
πηγὴ θεόρρυτος ὄντως
καινίζεται εἰς δόξαν
τῶν μαρτύρων, βοῶσα·
« λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

θεοτ. Ὁ τῷ πατρὶ καὶ πνεύματι
ὁμοούσιος Λόγος ἑκὼν
ὤφθη καὶ ἡμῖν
ἐκ τῆς παρθένου σύμμορφος,
οὐ φύρας εἰς ἄλληλα
τὰ τῆς σεπτῆς ἑνώσεως·
εἷς γὰρ ὁ αὐτὸς
ἐν ἀμφοτέροις δείκνυται,
ἐν δύο ταῖς οὐσίαις
καὶ μιᾷ ὑποστάσει,
οὗ νῦν τῆς ἐμφερείας
τὸ εἶδος προσκυνοῦμεν.

ᾠδὴ θ'. *Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανὸς*

f. 39 Ὑψώσαντες τὰς χεῖρας πρὸς οὐρανὸν
καὶ τὸ γόνυ εἰς γῆν προσερείσαντες,
τὸ ὑψηλὸν

267 ὄντως om. Vf 273 ὁμοούσιος] συναΐδιος Vf 282 οὗ νῦν] δι' ἧς Ck
heirm. θ' EE 220, n. 314, Joannis

φρύαγμα τῆς πλάνης οἱ ἀθληταὶ
ἕως ἐδάφους ἥπλωσαν,
κλίναντες αὐχένα δὲ τῷ Χριστῷ,
τῷ ξίφει καὶ τῷ στέφει
ὑφ' ἓν συνδοξασθέντες,
διὰ θανάτου ζωὴν ηὕραντο.

Ῥημάτων καὶ βασάνων τυραννικῶν
τὴν πικρὰν ἀχθηδόνα, πανεύφημε,
ἀθλητικῶς
ἔδειξας ἀράχνης ὥσπερ ἱστόν·
τῶν αἰκισμῶν γὰρ κρείττονι
καὶ τῶν προβλημάτων ἀναδειχθεὶς
ἀνδρείᾳ καὶ σοφίᾳ,
πολύαθλε Κοδρᾶτε,
σὺν τοῖς συνάθλοις ἐδοξάσθης Θεῷ.

Ὡραῖοι ὡς νυμφίοι οἱ ἀθληταὶ
ταῖς πληγαῖς κοσμηθέντες, προέρχονται
θεοπρεπῶς,
οἷα ἐκ παστάδος ἐκ τῆς εἱρκτῆς
καὶ πρὸς τὸ θεῖον χαίροντες
τέλος κατεπείγονται τῇ σπουδῇ,
τὰ στέρνα καὶ τὸ νῶτον
τοῖς στίγμασι κυρίῳ
πεποικιλμένα προσκομίζοντες.

f. 39v || Ναμάτων ἐξ αἱμάτων μαρτυρικῶν
προελθόντων ἀθρόως ἀντλήσωμεν
πρὸς εὐρωστίαν
καὶ εὐεξίαν πνευματικὴν
σωμάτων καὶ πνευμάτων τε
καὶ τῶν ἐναντίων ἀποτροπήν·
ἰδοὺ γὰρ θεῖον ὕδωρ,
ἰδοὺ πηγὴ ἁγία
τῇ τῶν ἁγίων προεχύθη σφαγῇ.

---

289 αὐχένας Vf 296 ἱστῶν Ck 297 κρείττονα Vf 308 τὸν νῶτον Ck
317 θείων Vf 319 προχυθεῖσα Vf

θεοτ. Συνείληφας, παρθένε, τὸν τοῦ πατρὸς
ὁμοούσιον Λόγον καὶ πνεύματος
καὶ ὡς βροτὸν
τέτοκας ἀσπόρως μετὰ σαρκός,
ἀναλλοιώτως μείναντα
ἕνα τὸν αὐτὸν ὄντα ἐπ' ἀμφοῖν,
ὃν σέβοντες τοῦ εἴδους
τῇ θείᾳ κατασχέσει,
τὴν τῶν ᾀσμάτων περαιοῦμεν ᾠδήν.

---

320 τῷ πατρὶ Vf 321 πνεύματι Vf 325 ἐν ἀμφοῖν Vf

10 MART. *CANON* XVI

IN SANCTUM CODRATUM ET SOCIOS MARTYRES

Coislin. gr. 309 = H, ff. 37v-41

Ὁ κανών.

Ἦχος β'.

ᾠδὴ α'. *Δεῦτε λαοί,*
ᾄσωμεν ᾆσμα Χριστῷ τῷ Θεῷ

Τῆς μυστικῆς,
κύριε, ἐπαπολαῦσαι τρυφῆς
τῶν σῶν ἡμᾶς ἀξίωσον
χαρίτων, εὔσπλαγχνε,
τῆς νηστείας τὸν δρόμον
ἀνύοντας προθύμως
καὶ σὲ δοξάζοντας.

Τὰ νοητὰ
ὄμματα τῆς διανοίας, σοφέ,
καταυγασθείς, τὸν ἥλιον
εἶδες τὸν ἄδυτον
καὶ πρὸς τοῦτον, Κοδρᾶτε,
ἐνθέως ὡδηγήθης
δι' ἀθλήσεως.

Νεανικὸν
σύνταγμα ἔχων, Κοδρᾶτε σοφέ,
τῶν σῶν συνάθλων, ἔτρεψας
τοῦ πολεμήτορος

heirm. α' EE 37, n. 51, Cosmae   11 ἴδες

καὶ ἐχθροῦ παρατάξεις
καὶ νίκης τὰ βραβεῖα
σὺν τούτοις εἴληφας.

θεοτ. Γῆθεν ἡμᾶς
ὕψωσον πρὸς θεῖον ἔρωτα
ταῖς σαῖς πρεσβείαις, ἄχραντε,
τοὺς σὲ δοξάζοντας
ἐγκρατείᾳ καὶ πόνοις
καθαίρουσα, κοσμοῦσα
καὶ ἁγιάζουσα.

ᾠδὴ γ'. *Στερέωσον ⟨ἡμᾶς ἐν σοί, κύριε,⟩*

Κραταίωσον ἡμᾶς τῇ σῇ χάριτι
νηστείᾳ
καὶ πόνοις, Χριστέ, τὸν ῥύπον
ἀπονίψαι τῶν πταισμάτων ἡμῶν
καὶ ἁγνῶς κατιδεῖν τὴν σὴν ἀνάστασιν.

Κατέαξας εἰς γῆν τὴν ὑπερήφανον,
Κοδρᾶτε,
ἀπόνοιαν τῶν τυράννων
καρτερίᾳ καὶ στερρότητι
καὶ ἐπήρθης εἰς ὕψος τῆς ἀθλήσεως.

Σοφίαν τοῦ Θεοῦ τὴν ἐνυπόστατον
ποθοῦντες
ἐνθέως καὶ ὑπὸ ταύτης
ἐλλαμπόμενοι ⟨ἐδείχθητε⟩,
ἀθλοφόροι σοφοὶ ἀξιάγαστοι.

θεοτ. Ἐνίσχυσον ἡμᾶς ταῖς ἱκεσίαις σου
νηστείᾳ
καὶ πόνοις καταπαλαῖσαι,
θεομῆτορ, τὸν ἀντίπαλον
f. 38 καὶ τῆς νίκης λαβεῖν || βραβεῖα ἄνωθεν.

heirm. γ' EE 39, n. 53, Cosmae   42 ἐλλαμπόμενοι [ψευ[illegible]μον] cd.: verbum desideratur.

Κάθισμα.

Ἦχος δʹ. *Ταχὺ προκατάλαβε*

Πορφύραν ἐξ αἵματος
περιβαλλόμενοι,
κυρίῳ παρίστασθε
τῷ τοῦ παντὸς βασιλεῖ,
πανεύφημοι μάρτυρες,
πέτρα δὲ δεξαμένη
τὸ σεπτὸν ὑμῶν αἷμα
ὕδωρ ἀναπηγάζει
χορηγοῦν πᾶσι ῥῶσιν
τοῖς νόσῳ κινδυνεύουσι,
θεομακάριστοι.

ᾠδὴ δʹ. *Εἰσακήκοα, κύριε,*
τὴν ἀκοὴν τῆς σῆς ⟨οἰκονομίας⟩

Τῆς σαρκὸς ἀποθέμενοι
τὰ γεηρὰ φρονήματα νηστείᾳ,
πρὸς ὕψος οὐράνιον
ἀναδράμωμεν.

Μυστικῆς, μάρτυς ἔνδοξε,
μεταλαβὼν τροφῆς, τῆς τῶν παρόντων
τρυφῆς ἀπεστράφης
καὶ ἀπεσόβησας.

Ὁμοτρόπῳ φρονήματι
πολυσχιδεῖς πολέμους τῆς ἀπάτης,
ἀθλοφόροι ἔνδοξοι,
ἐτροπώσασθε.

heirm. καθ. TR, 120 3 παρίστασθαι
heirm. δʹ MR IV, 53
53-56 cfr. AA.SS. Mart. II (1865), 895

θεοτ. Ὡς ἀκένωτον ἔχοντες
σὲ τῶν χαρίτων, ἄχραντε, ταμεῖον
ἐκ σοῦ τὰ ἰάματα
πορίζόμεθα.

ᾠδὴ εʹ. ⟨— — — ʹ — — — ʹ
— — — ʹ — — — ʹ ʹ — —
— — — ʹ
ʹ — — — ʹ
— — ʹ — — ʹ
— — ʹ — — ʹ — —
— — ʹ — — ʹ — —⟩.

Ὁ τῶν ἀφθάρτων καλῶν
καὶ αἰωνίων ἀγαθῶν πάροχος,
ὡς ἀγαθός,
ποίησον μετόχους
ἡμᾶς τούτων, Χριστέ,
νηστείᾳ καὶ πόνοις
αἰνοῦντας τὸ κράτος σου.

Τὰ ὑπὲρ νοῦν ἀγαθὰ
ἐπιποθήσας ἐκ ψυχῆς, ἔνδοξε,
τὴν ἐπὶ γῆς
δόξαν ἐβδελύξω·
διὸ καὶ ἐναθλῶν,
Κοδρᾶτε, τῆς θείας
ἐφέσεως ἔτυχες.

Συντετριμμένῃ ψυχῇ
καὶ ὑποβάσει εὐκλεεῖ, ἅγιοι,
τὸ τοῦ Χριστοῦ
ποτήριον θεῖον
πιόντες, τοῦ ἐχθροῦ
ἐπηρμένον θράσος
εἰς γῆν κατεβάλετε.

heirm. εʹ desideratur, sed forsitan ipsam primam st[illegible]pham, cum ad Christum vertatur, officium heirmi implere suspicari licet.

θεοτ. Ῥεῖθρα πηγάζει ζωῆς
ὁ σαρκωθεὶς ἐκ σοῦ Θεός, πάναγνε,
τοῖς ἐκ ψυχῆς
νηστείᾳ καὶ πόνοις
δοξάζουσι αὐτόν,
καὶ σὲ θεοτόκον
κυρίως ⟨μεγαλύνουσιν⟩.

ᾠδὴ ς'. *Ἐν ἀβύσσῳ πταισμάτων* ⟨*κυκλούμενος*⟩

Τὴν νηστείαν θεμέλιον πήξαντες
καὶ τὰς ἀρετὰς ὡς κλίμακα προθέμενοι,
Χριστῷ δι' ἀναβάσεως
πρακτικῆς νοητῶς προσπελάσωμεν.

Τρικυμίας τῆς πλάνης παρέδραμες
f. 38v θείᾳ κυβερνήσει, || Κοδρᾶτε, τοῦ πνεύματος,
καὶ πρὸς λιμένα εὔδιον
τοῦ Χριστοῦ ἀχειμάστως προσέδραμες.

Πηγὴν τὴν ἀόρατον, μάρτυρες,
ἐκ τῶν ὁρωμένων ποιημάτων γνόντες σαφῶς,
ταύτην ἐπεποθήσατε,
καὶ ἀθλοῦντες στερρῶς ἐδοξάσατε.

θεοτ. Γηγενεῖς ἡ νηστεία, πανάχραντε,
τῇ τοῦ γεννηθέντος ἐκ σοῦ θείᾳ χάριτι
ἀπὸ τῆς γῆς ἀπαίρουσα,
ἀναφέρει πρὸς ὕψος οὐράνιον.

---

92 κυρίως |δοξάζομεν|
heirm. ς' EE 34, n. 46, Joannis
Post odem ς' cd. tradit:
τῇ αὐτῇ ἡμέρᾳ ι' τῶν ἁγίων μαρτύρων κοδράτου τοῦ ἐν κορίνθῳ καὶ τῶν σὺν αὐτῷ ἀνέκτου, παύλου, διονυσίου, κυπριανοῦ καὶ κρίσκεντος (synax.).
τῇ αὐτῇ ἡμέρᾳ τῆς ἁγίας ἀναστασίας τῆς πατρικίας (synax.).
τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος μαρκιανὸς ξύλοις θλασθεὶς τελειοῦται.

ᾠδὴ ζ'. *Εἰκόνος χρυσῆς*

Εἰκόνι παθῶν
διανοίᾳ καρτερᾷ μὴ προσκυνοῦντες,
δι' ἀπαθείας τὸ ἀξίωμα,
διὰ νηστείας τηρήσωμεν
καὶ τῷ ποιητῇ προσκυνοῦντες
ἁγνῶς ἐν πίστει βοήσωμεν·
« εὐλογητὸς εἶ, ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

Πυρὸς νοητοῦ
κατεφρόνησας, ἀθλοφόρε μάρτυς Κοδρᾶτε·
τὸ νοητὸν γὰρ πῦρ, τὸν κύριον,
ἐν τῇ καρδίᾳ ἐκέκτησο,
ὅλον σε πυροῦντα τῷ πόθῳ
τῷ οἰκείῳ κραυγάζοντα·
« εὐλογητὸς εἶ, ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

Στολὴν νοητὴν
τοῦ βαπτίσματος Χριστοῦ εἰσδεδυμένοι,
ταύτην ἐνθέως ἐποικίλατε
ῥοαῖς αἱμάτων, ἀοίδιμοι,
ταῖς τοῦ μαρτυρίου, βοῶντες
τῷ στεφοδότῃ καὶ κράζοντες·
« εὐλογητὸς εἶ, ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

θεοτ. Ἰδεῖν καθαρῶς
καὶ ἁγνῶς τὰ τοῦ υἱοῦ σου, θεοτόκε,
θεῖα παθήματα καὶ τὴν ἔγερσιν
αὐτοῦ ἡμᾶς ἐκδυσώπησον,
δι' ἐγκρατείας καὶ πόνων
ἐκκαθαρθέντας καὶ ψάλλοντας·
« εὐλογητὸς εἶ, ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

---

heirm. ζ' EE 39, n. 53, Cosmae vv. 116, 124, 132, 140 om. cd.

ᾠδὴ η'. *Τὸν ἐν καμίνῳ ⟨τοῦ πυρὸς⟩*

Πύλας ἀνοίγει τοῖς βροτοῖς
ἡ νηστεία τῆς τρυφῆς τῆς ἀκηράτου
καὶ μετόχους ἀρρήτων
ποιεῖ χαρίτων Θεοῦ
τοὺς ταύτῃ χαίροντας, ψάλλοντας·
« καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Ἐξ ἀενάων ποταμῶν
ἀρυσάμενος, σοφέ, θαυμάτων χάριν
τοῖς αἰτοῦσιν ἀφθόνως
ταῦτα προχέεις ἀεί,
Κοδρᾶτε, τοῖς πίστει κραυγάζουσιν·
« καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Τοὺς τῆς ἀθλήσεως καρποὺς
ἐν ταμείοις, ἀθληταί, τοῖς οὐρανίοις
ἀποθέμενοι, τούτων
ἀεὶ τρυφᾶτε ἡμῖν
ἱλασμὸν πταισμάτων αἰτούμενοι
τοῖς ὑπερυψοῦσιν
Χριστὸν εἰς τοὺς αἰῶνας.

θεοτ. Ὁ σαρκωθεὶς διὰ σπλάγχνα
οἰκτιρμῶν, ἁγνή, ἐκ σῶν αἱμάτων ⟨σῴζει⟩,
θεοτόκε παρθένε,
δι' ἐγκρατείας Θεός,
ἀνθρώπους τοὺς πόθῳ τιμῶντάς σε
καὶ ὑπερυψοῦντας
εἰς πάντας τοὺς αἰῶνας.

heirm. η' EE 35, n. 47, Joannis
145 χαίροντα   154 v. om.   157 τοῦτον   163 σῴζει ipse scipsi

ᾠδὴ θ'. *Τὸν ἐκ Θεοῦ Θεὸν ⟨Λόγον⟩*

Τὰς ἀρετὰς τῷ δεσπότῃ
ἐν καιρῷ τῆς νηστείας
ὡς δῶρα προσκομίσωμεν πιστῶς,
ἵνα χαρίτων τῶν θείων αὐτοῦ
ἀπολαύσωμεν πάντες,
δοξάζοντες αὐτὸν εἰλικρινῶς,
καὶ σωτῆρα τῶν ὅλων
καὶ κτίστην μεγαλύνωμεν.

Τὴν ἀπροσμάχητον ἔχων
ἐν καιρῷ τῶν ἀγώνων
ἰσχὺν τοῦ τῶν ἁπάντων ποιητοῦ,
τὰς τῆς κακίας κατέβαλες
δυναστείας, Κοδρᾶτε·
διὸ καὶ νικητήρια λαβών,
ἐκτενῶς ὑπὲρ ἡμῶν
ἐκδυσωπεῖς τὸν κύριον.

Ὡς συμφωνίαν ἐν ἄθλοις
τοῖς ὑπὲρ εὐσεβείας
ἐνδειξάντες, γενναῖοι ἀθληταί,
ὑπὲρ ἡμῶν ἱκετεύσατε
ὁμογνώμονι τρόπῳ
τὸν μόνον εὐεργέτην καὶ Θεόν,
ἵνα τύχοιμεν δόξης
τῆς θείας τε καὶ κρείττονος.

θεοτ. Ὑπερφυῶν χαρισμάτων
ἀξιοῖ τοὺς ἀνθρώπους
ὁ κτίστης διὰ σοῦ ὡς ἀγαθός,
καὶ θεουργεῖ τούτους χάριτι,
τῇ νηστείᾳ καινίζων
καὶ πόνοις τῆς ἀσκήσεως πολλοῖς·
θεοτόκε, ἀπαύστως
σὲ ὕμνοις μεγαλύνομεν.

heirm. θ' EE 34, n. 46, Joannis   186 τῆς   194 ἄξιοι

IN SANCTUM ALEXANDRUM

Synaxarium, 532-535: ...ἄθλησις τοῦ ἁγίου Ἀλεξάνδρου τοῦ ἐν Πύδνῃ. Οὗτος ὡς ἐν σκοτομήνῃ τῆς πλάνης ἀναλάμψας οἷά τις πολύφωτος ἀστήρ, τὴν μανίαν τῶν δυσσεβῶν διήλεγξε καὶ τὸν κατεπαιρόμενον ἀντίπαλον τοῖς ῥήμασιν ὡς βέλεσι κατέτρωσε, καὶ πολλοὺς τῶν ἑλλήνων ἐπιστρέφων καὶ βαπτίζων. Οὕτω δὲ ποιῶν εἰς ὀργὴν ἐκίνησε καθ' αὐτοῦ τοὺς εἰδωλολάτρας· καὶ τὴν παρρησίαν αὐτοῦ καὶ τοῦ λόγου τὸ ἰσχυρὸν μὴ ὑπομείναντες, ποικίλαις μαγγανείαις ἐπειρῶντο τὸ εὔτονον αὐτοῦ καταβαλεῖν.
Ὁ δὲ θεὸς χαρίσμασιν ἰαμάτων αὐτὸν ἀνταμείβεται· ἅπασαν γὰρ νόσον πονηρὰν ἀπελαύνει ἀπὸ τῶν πίστει προσιόντων αὐτῷ.

Crypt. Δ.α. XVII	= Ck,	ff. 47ᵛ-49
Crypt. Δ.α. VII	= Db,	ff. 59-61ᵛ
Crypt. Δ.α. XXII	= Dc,	ff. 35-37ᵛ
Vat. gr. 2008	= Vm,	ff. 100-101
Paris. gr. 13	= Q,	ff. 277-277ᵛ
Patm. 199	= He,	ff. 65ᵛ-69
Vallic. gr. E 54	= Ea,	ff. 117ᵛ-119
Reg. gr. 61	= Lo,	ff. 3-4
Vat. gr. 1876	= Vu,	ff. 33-37
Vat. gr. 2069	= Vb,	ff. 158ᵛ-160
Paris. gr. 1575	= Pv,	ff. 13-13ᵛ

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Πύδνης τὸν Ἀλέξανδρον ὑμνῶ προφρόνως.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ἄισωμεν τῷ κυρίῳ*

Πόθῳ θείῳ θελχθεῖσα
ἡ καθαρωτάτη σου διάνοια,

tit. Εἰς τὸν ὄρθρον ὁ κανών, οὗ ἡ ἀκροστιχίς. Πύδνης τὸν... Q. Acrost. in cdd. ut supra prolata, ab initiis tamen tropariorum longior perspicitur. «πυδνης τον αλεξανδρον υμνω προφρονως σφ» cd. He in extremis litteris pro «σφ» obfert «σε» In margine auctoris nomen Ἰωσὴφ Bd Pq praebent, Θεοφάνους Q Bh Vs (cfr. Commentarium)
heirm. α' EE 224, n. 321, Joannis 1 θελχθεῖσα] φλεχθεῖσα He Lo Vu 2 διάνοιά σου Vm

τὴν πυρὰν τῶν εἰδώλων
ἀπετέφρωσε, μάρτυς Ἀλέξανδρε.

Ὕλην τῆς ἀσεβείας
ἔφλεξας σπινθῆρσι τῶν αἱμάτων σου
ὡς Χριστοῦ στρατιώτης,
ἀξιάγαστε μάρτυς Ἀλέξανδρε.

Δῶρα Χριστῷ προσῆξας
πίστιν καὶ ἀγάπην ἀνυπόκριτον
καὶ τὰ στίγματα, μάρτυς,
τοῦ σωτῆρος βαστάσας, Ἀλέξανδρε.

θεοτ. * Νέκρωσον τῆς σαρκός μου,
ἄχραντε παρθένε, τὰ φρονήματα,
τὴν ζωὴν ἡ τεκοῦσα
τὴν νεκρώσασαν πάθει τὸν θάνατον.

ᾠδὴ β'. *Πρόσεχε,*
οὐρανέ, καὶ λαλήσω

Ἤισχυνας
δυσσεβῆ βασιλέα
ἀγωνιζόμενος·
βασιλείαν τὴν ἄνω
ἐντεῦθεν, μάρτυς, ἀπείληφας.

Συνέτριψας
τοὺς ναοὺς τῶν εἰδώλων
τῇ καρτερίᾳ σου,
καὶ ναὸς ἀνεδείχθης
τοῦ πνεύματος διὰ πίστεως.

3 εἰδώλων] βασάνων Q 4 ἀπετέφρωσας Q 5 Ὕλην] Ὅλην Dc 6 ἔφλεξας] ἔσβεσας omnes cdd. exceptis Q Ea 9 δώρημα Lo 12 τοῦ σωτῆρος βαστάσας ἀλέξανδρε Ck Db Vm Ea; ceteri cdd. id est Dc Q He Lo Vu Vb Pv, τῆς σαρκός σου θεόφρον Ἀλέξ. 13-16 θεοτ. PID, ροθ' 15 ἡ γὰρ Db
Ode β' deest in Dc He Lo Vu
heirm. β' EE 226, n. 324, Germani 17 Ἴσχυνας Ea 19 ἀγωνισάμενος Vm Vb

Τῷ βέλει σου
τῶν ῥημάτων, καρδίας
κατετραυμάτισας
παρανόμων, παμμάκαρ,
ὡς ἔννομος τοῦ Χριστοῦ ἀθλητής.

48 θεοτ. ‖ Ὅλον με
ταῖς ἀπάταις τοῦ βίου
ἀμαυρωθέντα, ἁγνή,
καταλάμπρυνον, μόνη
τεκοῦσα πατρὸς ἀπαύγασμα.

ᾠδὴ γʹ. *Σὺ εἶ τὸ στερέωμα*

Νέκρωσιν ἐνδέδυσαι
ζωοποιὸν στερρῶς, ἔνδοξε·
μετὰ σαρκὸς
ὅθεν τοὺς ἀσάρκους
ἐταπείνωσας δαίμονας.

Ἄστρον ἐξανέτειλας
ταῖς μυστικαῖς ἡμᾶς λάμψεσιν
φωταγωγοῦν,
τοὺς τὴν φωτοφόρον
ἑορτήν σου γεραίροντας.

θεοτ. * Λάμψον μετανοίας μοι
τὰς καθαρὰς αὐγάς, δέσποινα,
πύλη φωτός,
τῶν ἁμαρτιῶν μου
τὴν ἀχλὺν ἀφανίζουσα.

31 ὡς ἔννομος ἀθλητὴς τοῦ χριστοῦ Db Vm Vb
heirm. γʹ EE 224, n. 321, Joannis 44 φωταγωγὸν Ck φωταγωγῶν Dc Vm Q Ea φωταγωγοῦντας Vb - Ante θεοτ. Lo hoc trop. add. Σὺ γὰρ νῦν συνέτριψας / τοὺς ναοὺς τῶν εἰδώλων τῇ στερρᾷ / καρτερίᾳ σου / καὶ ναὸς ἀνεδείχθης / τοῦ πνεύματος διὰ πίστεως. 47-51 θεοτ. PID, ρξαʹ 15 ἐξαφάνισον PID

Κάθισμα.

Ἦχος γʹ. *Θείας πίστεως ὁμολογίᾳ*

Θείοις αἵμασι τὸν ἀλαζόνα
ἐναπέπνιξας καὶ στεφηφόρος
πρὸς τὸν πάντων βασιλέα ἀνέδραμες
καί, ἰαμάτων βλυστάνων χαρίσματα,
τῶν νοσημάτων ξηραίνεις τὰ ῥεύματα
μάρτυς ἔνδοξε,
Χριστὸν τὸν Θεὸν ἱκέτευε
δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

ᾠδὴ δʹ. *Εἰσακήκοα, κύριε,*

Ἐν Θεῷ τῷ σωτῆρί σου
πᾶσαν ἀναθέμενος τὴν ἐλπίδα σου,
πρὸς τὴν ἄθλησιν, Ἀλέξανδρε,
ἀδιστάκτῳ πίστει ηὐτομόλησας.

Ξένοις ῥήμασιν, ἔνδοξε,
καταγωνισάμενος τὸν ἀλάστορα,
οἰκειώθης δι᾽ἀθλήσεως
τῷ Θεῷ τῶν ὅλων, ἀξιάγαστε.

Ἀπαστράπτει τοῖς θαύμασι,
μάρτυς, ἡ σορός σου ἡ ἀξιέπαινος
καὶ παθῶν λύει σκοτόμαιναν
καὶ δαιμόνων φλέγει τὰ στρατεύματα.

heirm. καθ. MR II, 55 – idem κάθ. Db post odem ϛʹ, Dc Vm ante canonem, Vb post odem γʹ proferunt – κάθ. om Lo 2 στεφηφόρος] [illegible]φόρος Ea 3 εἰσέδραμες Ea 4 βλυστάνων Vm Ea Vb βλυστάνεις ceteri cdd.
heirm. δʹ EE 225, n. 322, Cosmae 52 σου] μου Ea 56 Ξένω ῥήματι ἔνδοξε He 57 καταγωνισάμενος] κατασοφισάμενος Dc Lo ἀλάστορα] ἀντίπαλον Lo 58 ὠκειώθης Q 62 λύεις Q Ea Vu, σκοτό[illegible]ν Ck Db 63 φλέγει] θραύει He

οτ. * Νυσταγμῷ ἀμελείας με
ὕπνος ἁμαρτίας περιεκύκλωσεν·
τῇ ἀγρύπνῳ ἱκεσίᾳ σου
ἐξανάστησόν με, θεονύμφευτε.

ᾠδὴ ε'. *Ὀρθρίζοντες βοῶμεν*

Δυνάμει τῆς Τριάδος,
πολύθεον εἷλες πλάνην·
ἀπλανῆ σε μάρτυρα
ὅθεν ὑμνοῦμεν, Ἀλέξανδρε.

Ῥημάτων σου ῥομφαίᾳ
κατέτρωσας τοὺς ἀνόμους
καὶ τὸν τῆς ἀθλήσεως,
μάρτυς, ἀπείληφας στέφανον.

Οὐκ ἔσεισε τὸν πύργον
ὁ ἄθεος τῆς ψυχῆς σου·
τῇ πέτρᾳ γὰρ ἥδραστο
τῆς τοῦ Θεοῦ ἀγαπήσεως.

48v θεοτ. ‖ Νοός μου τὴν ἀσθένειαν
ἔρρωσον, θεοτόκε,
ἡ τὸν παντοδύναμον
ἀνερμηνεύτως κυήσασα.

64-67 θεοτ. MR V, 283 64 Νυσταγμὸς ραθυμίας με Πe ἀμελείας] ἀνομίας Lo 65 ἁμαρτίας] ἀμελείας Lo, περιεκύκλωσε] κόρη κατάλαβε MR κόρη ἐκύκλωσε Πe 66 ταῖς ἀγρύπνοις ἱκεσίαις σου Vu 67 διανάστησον MR, θεονύμφευτε] πρὸς μετάνοιαν MR

heirm. ε' EE 226, n. 324, Germani 73 ἀνόμους] τυράννους Db 74 τόν] τὴν Q 78 ἥδραστο] ἵδρυτο Dc 79 θεοῦ] χριστοῦ Q 81 ἔρρωσον] ἴασαι Db Vm ῥῶσον Dc Q Vb ζώωσον Lo στείρωσον Vu θεοτόκε θεογεννῆτορ Dc Q Πe Vb

ᾠδὴ ς'. *Τὴν δέησιν ἐκχεῶ πρὸς κύριον*

Ὑψώσας πρὸς τὸν Θεὸν τὸ φρόνημα
καὶ τὸ ὄντως ἐφετὸν ἀγαπήσας
καὶ ταῖς αὐτοῦ
ἡδυνθεὶς θεωρίαις,
τῶν χαμερπῶν ἐβδελύξω τὸ ἄστατον
καὶ ἔδραμες διὰ παθῶν
τὴν ἀπάθειαν, μάρτυς, κομίσασθαι.

Μυρίζει σου ἡ σορὸς τῶν λειψάνων,
ἰαμάτων ἀναβρύουσα χάριν·
καὶ γὰρ Θεοῦ
εὐωδία ἐδείχθης
μαρτυρικαῖς ἀγλαΐαις λαμπόμενος,
Ἀλέξανδρε, ἀγγελικῆς
συναυλίας συνόμιλε ἔνδοξε.

Νευρώσας σου τὴν ψυχὴν ταῖς μελέταις
ταῖς ἐνθέοις καὶ κρατύνας τοὺς νόμους
τοῦ Ἰησοῦ
καὶ τὴν πίστιν ὡς ὅπλον
ἀναλαβών, τὸν ἐχθρὸν ἐσφενδόνησας
καὶ αἵμασιν ἀθλητικοῖς
ἀθεΐας βυθὸν ἀπεξήρανας.

θεοτ. Ὡς ἄμπελος ἐγεώργησας βότρυν
ἐξ ἀσπόρων σου, παρθένε, λαγόνων,
οἶνον ἡμῖν
τὸν πηγάσαντα θεῖον

heirm. ς' EE 219, n. 314, Joannis 84 ὑψώσας σου πρὸς [illegible] τὸ φρόνημα Dc Πe Lo 92 ἀναβλύζουσα Dc Q Πe βλύζουσα Ea 97 συνόμιλε ἔνδοξε] ὑπάρχων συνόμιλος Dc ἀξίως συνόμιλε Q Πe Ea Lo Vu 99-101 ταῖς ἐνθέοις, ἀθλοφόρε, ὡς ὅπλον / καὶ τὸν σταυρὸν / ὥσπερ σκῆπτρον [illegible]τέχων Πe 102 ἐσφενδόνησας] ἐθανάτωσας Dc Q Πe Lo 103 καὶ om. Lo 104 βυθὸν] συνθλῶν Lo 106 ἐξ ἀσπόρων σου λαγόνων παρθένε Dc ἐξ ἀσπόρων σου παρθένε νηδύος Q Ea

καὶ ἀσεβείας τὴν μέθην μειώσαντα·
ὃν αἴτησαι τῇ μητρικῇ
παρρησίᾳ σωθῆναι τὴν ποίμνην σου.

Κάθισμα.

Ἦχος δ'. *Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ*

Ἐν τῷ τῆς πλάνης σκοτασμῷ ἀναλάμψας,
ὡς φαεινότατος ἀστὴρ τὴν μανίαν
τῶν δυσσεβῶν διήλεγξας, Ἀλέξανδρε·
ὅθεν τετελείωσαι,
ἐναθλήσας νομίμως,
νίκης δὲ τὸν στέφανον
ἐκ Θεοῦ ἐκομίσω,
σὺν παρρησίᾳ τούτῳ παρεστώς,
ὃν καὶ δυσώπει
δεινῶν ἡμᾶς ῥύσασθαι.

ᾠδὴ ζ'. *Παῖδες Ἑβραίων ἐν καμίνῳ*

Πῦρ τῆς εἰδώλων δυσφημίας
ἐναπέσβεσας πυρὶ τοῦ Παρακλήτου
καὶ πυρσὸς τοῖς πιστῶς
βοῶσι καθωράθης·
« εὐλογητὸς εἶ, κύριε,
ὁ Θεὸς εἰς τοὺς αἰῶνας ».

Ῥάβδον δυνάμεως, παμμάκαρ,
τὴν ἀήττητον προφέρων συμμαχίαν,
τοὺς ἐχθροὺς τοῦ σταυροῦ

---

109 ἀσεβείας] ἀθεΐας Lo 111 τὴν ποίμνην σου] τοὺς δούλους σου Lo
heirm. καθ. MR I,181; idem κάθ. in Q post odem γ' et in He ante canonem invenimus 9 ὃν ἐκδυσώπει Q
heirm. ζ' EE 220, n. 315, Joannis 114 καὶ ὡς πῦρ τοῖς πιστοῖς Dc καὶ πυρσῷ τοῖς πιστοῖς Vu καὶ πυρὸς τοῖς πιστῶς Vb πυρσὸς] ὡς πῦρ Lo 117 v. om. Q Lo 119 προσφέρων Vm He προσφέρω Q

κατέβαλες, κραυγάζων·
« εὐλογητὸς εἶ, κύριε,
ὁ Θεὸς εἰς τοὺς αἰῶνας ».

Ὄρθρος ἀνέτειλας, θεόφρον,
δυσσεβείας τὴν ἑσπέραν ἐξεώσας
καὶ πρὸς φῶς νοητὸν
μετῆλθες ἀναμέλπων·
« εὐλογητὸς εἶ, κύριε,
ὁ Θεὸς εἰς τοὺς αἰῶνας ».

10 θεοτ. ‖ Φλόγα παθῶν μου τῆς καρδίας
ἐναπόσβεσον τῇ δρόσῳ σου, παρθένε,
καὶ πυρὸς νοητοῦ
ἐξάρπασόν με, μόνη
ἡ τοῦ πυρὸς λοχεύτρια
τοῦ ἀστέκτου, θεοτόκε.

ᾠδὴ η'. *Οἱ θεορρήμονες παῖδες*

Ῥιζοτομήσας τῆς πλάνης τὰς ἀκάνθας
τῷ τμητικῷ λόγῳ, μάρτυς,
ξίφει τὴν κάραν ἐκτέτμησαι,
εὐλογεῖτε, κραυγάζων,
τὰ ἔργα τὸν κύριον.

Ὁ ποταμὸς τῶν θαυμάτων σου, θεόφρον,
τοὺς ποταμοὺς τῆς ἀπάτης
ὡς ἀληθῶς ἀπεξήρανεν
καὶ πιστῶν τὰς καρδίας
ἐνθέως κατήρδευσεν.

---

123 v. om. Q Lo 125 ἐξέωσας Db ἐξεώσας] ἐκμειώσας Dr ἐξεώας Q ἐξ ἑώας Lo 127 ἀναμέλπων] ἀνακράζων Q 128-129 cdd. varie abrumpunt orationem 133 μόνη] κόρη omnes cdd. exceptis Ck Db Ln
heirm. η' EE 227, n. 325, Joannis 137 τῷ τμητικῷ σου λόγῳ μάρτυς Πe 139-140 cdd. varie resecant laudem 141 σου om. Vb

θεοτ. Νυκτομαχοῦσαν, παρθένε, τὴν ψυχήν μου
καὶ τῷ τοῦ βίου πελάγει
χειμαζομένην κυβέρνησον,
ἡ Θεὸν κυβερνήτην
ἀρρήτως κυήσασα.

ᾠδὴ θ'. *Ἔφριξε*

Ὡραῖος
ὤφθης, καλλοναῖς
φαιδρυνθεὶς καλλοποιοῦ ἐναθλήσεως
καὶ προσεχώρησας
ἔνθα τὸ πρῶτον κάλλος καὶ ἄρρητον
καί, ταῖς ἐκεῖθεν ἀστραπαῖς,
παμμάκαρ, θεούμενος,
φῶς ἐχρημάτισας
καὶ φωτίζεις τοὺς πιστῶς σε γεραίροντας.

Στάζουσιν
μάκαρ, γλυκασμὸν
οἱ ἱδρῶτες τῶν ἐνθέων ἀγώνων σου
καὶ καθηδύνουσι
ψυχὰς τῶν πίστει ἀνευφημούντων σε·
ἀναπηγάζει ἡ σορὸς
ἰαμάτων νάματα
καὶ τῶν παθῶν ποταμοὺς
ἀποπαύει τῇ δυνάμει τοῦ πνεύματος.

Στάδιον
ἔδραμες στερρῶς
καὶ πρὸς νύσσαν ἐπουράνιον ἔφθασας
καὶ νίκης στέφανον
ἐδέξω, μάρτυς, πόνων ἐπάξιον·
ἀλλὰ τοὺς πόθῳ τὴν σεπτὴν

heirm. θ' EE 222, n. 317, Joannis 164 ψυχῆς Ln 166 ἰαμάτων] ἰάσεων Dc Lo 168 ἀποπαύει] κατακλύζει Dc Lo ἀποπλύνει Vm 173 πόνων] ὕμνον Vu

μνήμην σου γεραίροντας,
ταῖς ἱκεσίαις σου,
τῶν τοῦ βίου δυσχερῶν ἐλευθέρωσον.

θεοτ. * Φώτισον,
πύλη τοῦ φωτός,
τῆς καρδίας μου τὰ ὄμματα, δέομαι,
ἅπερ ἠμαύρωσε
τῆς ἁμαρτίας σκότος βαθύτατον
καὶ μετανοίας μοι αὐγὴν
κατάπεμψον, δέσποινα,
καὶ αἰωνίου πυρὸς
μεσιτείᾳ σου, ἁγνή, ἐλευθέρωσον.

178-186 θεοτ. PaR, 643 – Ile unus ex omnibus codicibus hoc θεοτ. ineditum tradit: Ἔθελξας / πόθῳ με, σωτήρ, / καὶ ἠλλοίωσας τῷ θείῳ σου ἔρωτι, / ἀλλὰ κατάφλεξον / πυρὶ ἀΰλῳ τὰς ἀνομίας μου, / καὶ ἐμπλησθῆναι τῆς ἐν σοὶ / τρυφῆς καταξίωσον, / ἵνα τὰς δύο σκιρτῶν / μεγαλύνω, ἀγαθέ, παρουσίας σου. 186 μεσιτείαις Lo PaR ἁγνή] ἀεὶ PaR

14 MART. *CANON* XVIII

IN SANCTUM EUSCHEMONEM

Synaxarium, 535: Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Εὐσχήμονος ἐπισκόπου Λαμψάκου. Οὗτος ἐκ βρέφους καλῶς αὐξηθεὶς φίλος γέγονε Θεοῦ· καὶ εἰς ἄνδρα τέλειον φθάσας ναὸς ὑπῆρξε τοῦ παναγίου Πνεύματος, τὸν ἀγγελικὸν βίον ἑλόμενος καὶ τὴν ὀρθόδοξον πίστιν αἱρετισάμενος· ἀλλὰ καὶ εἰς τὸ τῆς ἀρχιερωσύνης ὕψος ἀνελθὼν χάριτος ἐπληρώθη πνευματικῆς. Ζήλῳ γὰρ θείῳ τρωθεὶς τοὺς ἱερεῖς τῆς αἰσχύνης κατέβαλε, θαυμάσια τελῶν παράδοξα. Οὗτος ἄπνουν βρέφος βασταζόμενον ὑπὸ τῆς μητρὸς πρὸς ζωὴν ἐπανήγαγεν, καὶ θηρίοις φοβερὸς γέγονε· προστάξει γὰρ μόνῃ αὐτὰ ἀπεδίωκε τὴν τῶν λαχάνων χλόην θερίζοντα. Εἱρκτῇ δὲ ἐγκλεισθεὶς ὡς προσκυνητὴς τῶν θείων χαρακτήρων τοὺς αὐτὸν φυλάσσοντας προσκυνητὰς τῶν ἁγίων εἰκόνων εἰργάσατο· καὶ ὑπερόριος γενόμενος, τῶν πενήτων ἐφρόντιζεν . . .

Mess. gr. 121	= Mh,	ff. 25-27ᵛ
Mess. gr. 163	= Mg,	ff. 62ᵛ-67
Vallic. gr. E 54	= Ea,	ff. 114ᵛ-116ᵛ

Ὁ κανών.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ἁρματηλάτην Φαραὼ ἐβύθισε*

Τῆς ἐγκρατείας τὴν τρυφὴν ἐθήλασας
ἐκ βρέφους, ὅσιε,
καὶ αὐξηνθεὶς θείᾳ
χάριτι, πατὴρ ἡμῶν,
εἰς ἄνδρα τελειότητος
ἀγγελόμορφος ὤφθης,
ναὸν Θεοῦ τὴν καρδίαν σου
δείξας τῇ μελέτῃ τοῦ πνεύματος.

---

heirm. α' EE 219, n. 314, Joannis

Ἐν τῷ πυρὶ τῆς ἀληθείας ἔφλεξας
τῶν ἡδονῶν τὰς ὁρμὰς
καὶ τὴν ψυχὴν ἄρτον
θεῖον ἐργασάμενος
ὀπτώμενον τῷ πνεύματι,
οὐρανίῳ τραπέζῃ
ἀνέθου ταύτην, μακάριε,
ἐν εὐσχημοσύνῃ, πατὴρ ἡμῶν.

Ἐπὶ τὸν ὦμον τὸν σταυρὸν ἀράμενος
τοῦ βασιλέως Χριστοῦ
καὶ ταῖς αὐτοῦ θείαις
ἐντολαῖς ἑπόμενος,
κόσμου καταλέλοιπας
τὰ τερπνὰ ὡς μὴ ὄντα,
Εὐσχῆμον πάτερ ἀοίδιμε,
ὅλον πρὸς Θεὸν ἀνυψώσας τὸν νοῦν.

θεοτ. Ἐν γαστρί σου χωρηθείς, πανάμωμε,
ὁ μηδαμοῦ χωρητὸς
καὶ σαρκωθεὶς ἀσπόρως,
εἷς ἐν δύο φύσεσιν
Θεὸς ὁμοῦ καὶ ἄνθρωπος
ἀσυγχύτως προῆλθεν,
τὰ σήμαντρα τῆς ἁγνείας σου,
ἄχραντε, φυλάξας ἀλώβητα.

ᾠδὴ γ'. *Οὐρανίας ἀψῖδος*

Τῆς σαρκὸς τὰς φροντίδας
καταλιπών, ὅσιε,
τὸν ἀγγελικὸν ᾑρετίσω
βίον, τρεφόμενος

13 ὀπτώμενος Mh 17-24 trop. Mg Ea his vv. subst[illegible]unt Πρὸς τὸ βραβεῖον ἀποβλέπων, ὅσιε, / τῆς ἄνω κλήσεως / τὴν τεθλιμμένην [illegible]ον / ὥδευσας ὡς ἄσαρκος, / ἀγγέλοις ἁμιλλόμενος, / ἐπὶ γῆς βιοτεύων / ὡς ἄνθρω[illegible] ἐπουράνιος· / ὅθεν σὺν αὐτοῖς ἐπαγάλλῃ ἀεί. 25 χωρεθεὶς Mh

heirm. γ' EE 220, n. 315, Joannis

θεία μελέτη τὸν νοῦν·
ὅθεν σαυτὸν ἀπειργάσω,
ἱεράρχα, δοχεῖον
τοῦ τρισηλίου φωτός.

f. 25v ‖ Ἐγκρατείας δρεπάνη
τὴν τῆς ψυχῆς ἔτεμες
μέθην καὶ κραιπάλην, ὡς οὖσαν
παθῶν λοχεύτριαν
καὶ ἐν ἁγνείᾳ, πάτερ,
καὶ σωφροσύνῃ βιώσας,
ἐπεσπάσω τὴν χάριν
τοῦ θείου πνεύματος.

Ἀναβάσεις, παμμάκαρ,
προφητικῶς θέμενος
ἐν τῇ σῇ καρδίᾳ, ἐδείχθης
ὄχημα θείου φωτὸς
καὶ πρὸς ἐπίβασιν
θεωριῶν ἀνυψώθης,
ἀπὸ δόξης εἰς δόξαν
μεταβαλλόμενος.

Μιμητὴς Ἰωάννου
καὶ Ἠλιοὺ γέγονας
τῆς πλεονεξίας τὴν λύτταν
ἀποκρουσάμενος
καὶ ζήλῳ θείῳ τρωθείς,
τοὺς ἱερεῖς τῆς αἰσχύνης
ὡς φιλάργυρον γνώμην,
πάτερ, ἐδίωξας.

θεοτ. Οὐρανὸς ἀνεδείχθης,
ὑπερφυῶς λάμψασα,

42 ψυχῆς] τρυφῆς Mg Ea 48 θείου om. Mh 49-56 Mg Ea hanc stropham tradunt Ἀνελθὼν εἰς τὸ ὄρος / τῶν ἀρετῶν εἴληφας / πλάκας ὡς Μωσῆς θεογράφους / νόμου (νόμω Ea) τοῦ πνεύματος / καὶ τὴν ὀρθόδοξον / πίστιν σαφῶς ἐμυήθης / λειτουργὸς τῆς Τριάδος / θεῖος γενόμενος. 57-64 trop. om. Mg Ea

τῆς δικαιοσύνης, παρθένε,
Χριστὸν τὸν ἥλιον,
δι' οὗ ἠλάθη σκότος
τῆς ἀγνωσίας καὶ πᾶσιν
τοῖς πιστοῖς ἐπέφανε
φῶς ἐπιγνώσεως.

ᾠδὴ δ'. *Εἰσακήκοα, κύριε*

Τῇ τῶν λόγων σου σύριγγι
ἐπὶ ζωηρὰς νομὰς τὸ αἰπόλιον
καὶ ἐφ' ὕδωρ ἀναπαύσεως
διατρέφων, πάτερ, ἐξεπλήθυνας.

Ἀποστόλων συμμέτοχος
καὶ τῶν προφητῶν ἰσότιμος γέγονας,
ἱεράρχα παμμακάριστε,
πλουτισθεὶς θαυμάτων τὴν ἐνέργειαν.

Ἱερέων καλλώπισμα
καὶ ἀρχιερέων, πάτερ, εὐπρέπεια,
ἀσκητῶν ὑπογραμμὸς καὶ κανών,
ὀρθοδόξων κλέος ἐχρηματίσας.

Τῶν παθῶν ἐνδυσάμενος
καὶ πρὸ τοῦ θανάτου, πάτερ, τὴν νέκρωσιν,
ζωηφόρος ὤφθης ἄγγελος,
ἐν ὑψίστοις ἔχων τὸ πολίτευμα.

θεοτ. Χαῖρε, θρόνε πυρίμορφε·
χαῖρε, τοῦ Θεοῦ, παρθένε, παλάτιον·
χαῖρε, γέφυρα μετάγουσα
τοὺς θνητοὺς πρὸς ὕψος ἐπουράνιον.

heirm. δ' EE 225, n. 322, Cosmae 73 τοῦ λόγου Mg 80 θαυμάτων] παμμάκαρ Mh 81-84 loco huius trop. hos vv. legimus in Mg Ea Ὑπερόριος γέγονας, / πάτερ, τῶν πενήτων ὑπερασπίζων θερμῶς, / καὶ φιλ[...]ρον μανίαν, σοφέ, / διωχθεὶς ἀδίκως, ἐξεδίωξας. 85-88 trop. om. Mg Ea [...]ουράνιον Mh

f. 26 || ᾠδὴ ε΄. *Ἵνα τί με ἀπώσω*

Μητρικαῖς ἐν ἀγκάλαις
ἄπνουν βασταζόμενον
βρέφος ταῖς σαῖς προσευχαῖς
πρὸς ζωὴν μετῆλθε
καὶ θανάτου ἐρρύσθη, πανόλβιε·
Ἠλιοῦ γὰρ ἔσχες,
πάτερ σοφέ, τὴν πολιτείαν
καὶ τὴν χάριν, Εὐσχῆμον μακάριε.

Τῆς εἰκόνος τὸ κάλλος,
πάτερ, ἀπαράτρωτον
διατηρήσας, φωτὸς
ἐπληρώθης θείου,
φοβερὸς τοῖς θηρίοις γενόμενος·
ὅθεν λόγῳ ταῦτα
προστακτικῷ ἀποδιώκεις
τῶν λαχάνων τὴν χλόην θερίζοντα.

Εἰκονίζων τὸν Παῦλον,
πάτερ, φρουρηθεὶς σοῦ
τοὺς φύλακας ἤγρευσας
καὶ προσῆξας θῦμα
τῷ δεσπότῃ Θεῷ διὰ πίστεως,
προσκυνεῖν ἀξίως
τὴν τοῦ Χριστοῦ σεπτὴν εἰκόνα
ὀρθοδόξοις στηρίξας διδάγμασιν.

θεοτ. Ὁρατὸν ὑπὲρ λόγον
ἔτεκες, παρθένε,
Θεὸν τὸν ἀόρατον·
διὸ εὐσεβοῦντες
προσκυνοῦμεν αὐτοῦ τῆς σαρκώσεως

heirm. ε΄ EE 219, n. 314, Joannis   102 ἀπαράτροντον Mh   103 φωτὸς] σοφὸς Mg   107 προστακτικὸν Mg   110 σοῦ Ea   117 ὁρατὸς Mh ὁρατῶς Ea

τὴν σεπτὴν εἰκόνα
ἅμα τῇ σῇ, θεοκυῆτορ,
ἱλασμὸν τῶν πταισμάτων αἰτούμενοι.

ᾠδὴ ϛ΄. *Τὴν δέησιν ἐκχεῶ πρὸς κύριον*

Τῷ ἄνθρακι πυρωθείς, θεοφόρε,
τῆς Τριάδος πᾶσαν ἔφλεξας, πάτερ,
αἱρετικὴν ἀκανθώδη μανίαν
καὶ τὴν εἰκόνα Χριστοῦ ἐδογμάτισας
σεβάζεσθαι θεοπρεπῶς
καὶ πιστῶς προσκυνεῖσθαι τοῖς πέρασιν.

Διέλαμψας ὡς φωστὴρ ἡμερινός,
ταῖς ἀκτῖσι τῶν δογμάτων φαιδρύνας
τῆς τοῦ Χριστοῦ ἐκκλησίας τὸ κάλλος
στηλογραφούμενον θείοις ἀγάλμασιν·
καὶ πᾶσαν ἐδίωξας ἀχλὺν
ἀσεβείας, Εὐσχῆμον μακάριε.

Ὡς ἄριστος τοῦ δεσπότου μιμητὴς
f. 26v τῆς αὐτοῦ || ὑπερμαχῶν ἐκκλησίας,
Δαυϊτικῶς τὸ ἀλλόφυλον δόγμα
λίθοις τῶν λόγων σου, πάτερ, ἀπέκτεινας
καὶ ἦρας νίκην κατ' ἐχθρῶν,
βασιλείαν Χριστοῦ κληρωσάμενος.

θεοτ. Εἰργάσατο τὴν ἐμὴν σωτηρίαν
ἐν γαστρί σου ὑπὲρ φύσιν, παρθένε,
ὁ τοῦ Θεοῦ ὢν υἱὸς κατὰ φύσιν,
ἐνανθρωπίσας ὡς οἶδε καὶ μείνας Θεός·
διό σε γένος τῶν βροτῶν
ἀνυμνεῖ καταχρέως ὡς δέσποιναν.

124 αἰτούμενος Mh
heirm. ϛ΄ EE 219, n. 314, Joannis   148 κατὰ χρέος Mh Mg

ᾠδὴ ζ'. *Θεοῦ συγκατάβασιν*

Τετράπυργον ὄχημα
καὶ φλογοφόρον ἅρμα τοῦ πνεύματος
ἀρεταῖς σου συνεστήσω,
ἐν ᾧ τὸν νοῦν σου διαβιβάσας, σοφέ,
συνανυψώθης ταῖς αὔραις τῆς χάριτος
διφρηλατήσας ἐκ γῆς
πρὸς τὰ οὐράνια.

Φωτὸς ἐνδιαίτημα
τοῦ τρισηλίου, πάτερ, γενόμενος,
θεαυγεῖς θεωρίας
κατεπλουτίσθης λάμψας, πανόλβιε,
δι' ἐγκρατείας ἐν κόσμῳ τοῖς θαύμασιν,
μελῳδικῶς ἀνυμνῶν
τὸν τῶν πατέρων Θεόν.

Θυσίαν αἰνέσεως
τὰς προσευχάς σου εἰλικρινῶς πρὸς Θεόν,
ἱεράρχα, προσφέρων,
ὠλοκαυτώθης ὅλος τῷ θείῳ πυρί,
σὺν ἀσωμάτοις βοῶν, παμμακάριστε·
« εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

θεοτ. Ἡ βάτος προέγραψεν
τῷ νομοθέτῃ Μωσῇ τὸν τόκον σου
καιομένη ἀφλέκτως·
σὺ γὰρ τεκοῦσα τὸ πῦρ τὸ ἄφλεκτον

---

heirm. ζ' EE 219, n. 314, Joannis 153 τῆς χάριτος] τοῦ πνεύματος **Mh** 154 διφρελατήσας cdd. 156-162 trop. **Mg Ea** his substituunt vv. Τοῦ βίου τὴν θάλασσαν / ποσὶν ἀβρόχοις, πάτερ, διώδευσας, / διαδρὰς ἐναντίον / τῆς τρικυμίας (τὰς τρικυμίας **Ea**) καὶ πρὸς λιμένα ζωῆς / δι' ἀπαθείας καθώρμισας, ὅσιε. / Εὐλογητὸς ὁ θεὸς / ὁ τῶν πατέρων ἡμῶν 163-169 Τῇ δρόσῳ τοῦ πνεύματος / κατεμάρανας σαρκὸς τὴν πύρωσιν· / ἡδονῇ (leg. ἡδονῆς cdd.) οὐκ ἐφλέχθης, / ἀλλ' ἐπυρσεύθης τῷ θείῳ ἔρωτι / τῇ μετουσίᾳ τῆς χάριτος, ἔνδοξε, / ἱερωσύνης κανὼν / ἀναδειχθεὶς καὶ εἰκών. 173 ἄφλεκτον] ἄχραντον **Ea**

οὐ κατεφλέχθης τὴν μήτραν, πανάμωμε,
οὐδὲ συλήθης, ἁγνή,
τὴν παρθενίαν σου.

ᾠδὴ η'. *Ἑπταπλασίως κάμινον*

Σὺ τὴν ζωήν σου θέμενος
τοῦ θανάτου μελέτημα
f. 27 καὶ πρὸ τοῦ θανάτου νεκρωθεὶς ‖ τῷ σώματι,
μετέστης τῷ πνεύματι
πρὸς τὴν ζωὴν τὴν ἄληκτον
διὰ τοῦ θανάτου, μελῳδῶν, ἱεράρχα·
« οἱ παῖδες εὐλογεῖτε,
ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Τὴν πρὸς ἐχθροὺς ἀράμενος
ἀσωμάτους, πανεύφημε,
πάλιν ἠγωνίσω ἀνδρικῶς, κτησάμενος
ἁγνείαν, ἐγκράτειαν
ὡς θυρεὸν σωτήριον·
ὅθεν κατεστέφθης οὐρανόθεν τροπαίοις
τῆς νίκης, ἱεράρχα,
μελῳδῶν σὺν ἀγγέλοις·
« λαὸς ὑπερυψοῦτε
Χριστὸν εἰς τοὺς αἰῶνας ».

Κατὰ δαιμόνων εἴληφας
ἐξουσίαν καὶ δύναμιν·
ὅθεν δεσμευθεῖσαν ὑπ' αὐτῶν λελύτρωσαι
τὴν κόρην, θεσπέσιε,
ταῖς πρὸς Θεὸν ἐντεύξεσιν
καὶ σωφρονισθεῖσαν μελῳδεῖς εὐχαρίστως·

---

heirm. η' EE 219, n. 314, Joannis 177 σου θέμενος] σοῦ [illegible]νούμενος **Ea** 188 πανεύφημε] παράταξιν **Mg Ea** 189 πάλιν] μάκα[illegible] **Mg Ea** 194 post μελῳδῶν cetera om. **Mg** 196 Χριστὸν] αὐτὸν **Ea** 202 μ[illegible]ῖ **Ea**

« οἱ παῖδες εὐλογεῖτε,
ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

θεοτ. Ἀντὶ κατάρας εὕρομεν
εὐλογίαν τῷ τόκῳ σου
οἱ κατακριθέντες διὰ ξύλου βρώσεως
θανάτῳ, θεόνυμφε,
καὶ πρὸς ζωὴν ἀνήχθημεν
διὰ τοῦ θανέντος δι' ἡμᾶς ἑκουσίως,
ᾧ πάντες μελῳδοῦμεν·
« ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

ᾠδὴ θ'. *Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός*

Ὡς θώρακα καὶ δόρυ καὶ θυρεὸν
καὶ περικεφαλαίαν καὶ μάχαιραν,
πίστιν ὀρθήν, βίον καθαρόν, θείαν προσευχήν,
ὑπομονήν, ἐγκράτειαν,
πάτερ, καθωπλίσω πνευματικῶς·
διὸ καὶ ἀοράτους
ἐχθροὺς κατετροπώσω
ὡς στρατιώτης περιδέξιος.

Γευσάμενος τοῦ ὕδατος τῆς ζωῆς
ἐκ γραφῶν θεοπνεύστων ἀνέβλυσας
ὡς ποταμὸς δογμάτων, βυθίζων αἱρετικῶν
τὰ ἀσεβῆ διδάγματα
καὶ τὴν τοῦ Θεοῦ, πάτερ, εὐσεβῶς

207-216 idem θεοτ. in η' canonis X invenies. 207 εὕρωμεν Mh 212 θανέντος] θανάτου Mh ἀκουσίως Mh 214-216 cdd. varie intermittunt orationem.

heirm. θ' EE 220, n. 314 Joannis 221 πνευματικὴν Mg 223 v. om. Mh 225-232 in loco huius trop. haec stropha legitur in Mg Ea: Μετέστης ἐν ὑψίστοις πρὸς τὴν ζωὴν / τὴν ἀγήρω, τῶν πόνων δρεψάμενος / τὰς ἀμοιβάς, πάτερ θεοφόρε, παρὰ Χριστοῦ / καὶ τῆς αὐτοῦ λαμπρότητος / ἐν ἀγαλλιάσει κατατρυφᾷς / καὶ μέλπεις σὺν ἀγγέλοις / τὸν ὕμνον ἀσιγήτως / τῷ τρισαγίῳ μελῳδήματι.

εὐφραίνων ἐκκλησίαν·
διό σε, ἱεράρχα,
ἀνευφημοῦντες μακαρίζομεν.

Ἱκέτευε ἀπαύστως ὑπὲρ ἡμῶν,
ἱεράρχα Εὐσχῆμον πανόλβιε,
τῶν ἐπὶ γῆς πόθῳ σε τιμώντων εἰλικρινῶς
f. 27v || ῥυσθῆναι περιστάσεων
καὶ τῆς τῶν ἀθέων αἱρετικῶν
ἀνόμου κακουργίας
καὶ πίστει ὀρθοδόξῳ
ἐστηριγμένους περισῴζεσθαι.

θεοτ. Ἐξέστη πᾶσα κτίσις ἐπὶ τῇ σῇ
ὑπὲρ λόγον κυήσει, παρθένε ἁγνή,
ὅτι Θεὸν φέρεις ἐν ἀγκάλαις σωματικῶς
καὶ ἐκ μαζῶν τὸν τρέφοντα
γάλακτι ἐκτρέφεις πᾶσαν πνοήν·
διό σε καταχρέως
ἀγγέλων καὶ ἀνθρώπων
ταξιαρχίαι μεγαλύνουσιν.

248 μεγαλύνομεν Ea

15 MART. *CANON* XIX

IN SANCTUM PIONIUM

Synaxarium, 529: Οὗτος ἦν πρεσβύτερος τῆς ἐν Σμύρνῃ ἁγίας τοῦ Θεοῦ ἐκκλησίας κατὰ τοὺς καιροὺς Δεκίου τοῦ βασιλέως. Ἐλέγχων δὲ Ἰουδαίους καὶ ἕλληνας καὶ πείθων αὐτοὺς ἀπὸ τῶν ἁγίων γραφῶν, ὅτι εἷς ἐστι μόνος θεὸς ἀληθινός, ὁ τὰ πάντα ποιήσας καὶ ὁ μονογενὴς αὐτοῦ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ Ἅγιον..... ἐκρατήθη ὑπὸ τῶν εἰδωλολατρῶν μετὰ ἑτέρων χριστιανῶν. Καὶ πρῶτον μὲν παρεδόθη δεδεμένος ἁλύσεσι τῷ τῶν εἰδώλων ἱερεῖ καὶ τῷ τῆς πόλεως ἀνθυπάτῳ. Ὁ δὲ ἡγεμὼν ἔτυψεν αὐτὸν σφοδρῶς καὶ ἐπὶ ξύλου ἐκρέμασε καὶ τὰς πλευρὰς αὐτοῦ κατέφλεξε. Εἶτα ἀπὸ τοῦ ξύλου καταβιβάσας εἰς κάμινον μεγίστην ἐνέβαλεν· ἐν αὐτῇ προσευχόμενος τὸ μακάριον τέλος εὕρατο.....

Crypt. Δ.α. XVII	= Ck,	ff. 50-52ᵛ
Crypt. Δ.α. VII	= Db,	ff. 62-64ᵛ
Vat. gr. 2008	= Vm,	ff. 101-102
Vat. gr. 2069	= Vb,	ff. 160-161ᵛ
Vat. gr. 1876	= Vu,•	ff. 42-46ᵛ

Ὁ κανών. Ποίημα Γερμανοῦ

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Τῷ ἐκτινάξαντι ἐν θαλάσσῃ*

Τὸν ἀναδείξαντα ἐν τῷ κόσμῳ
τοῦ ἱεράρχου τὴν μνήμην
ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς εὐφημήσωμεν,

tit. Μηνὶ μαρτίῳ ιε' τοῦ ἁγίου ἱερομάρτυρος πιονίου καὶ τοῦ ἁγίου ἀριστοβούλου ἀδελφοῦ βαρνάβα τοῦ ἀποστόλου Ck duos canones alternatis odis praebet. Prior canon in sanctum Pionium, inc. Τὸν ἀναδείξαντα ἐν τῷ κόσμῳ et sequitur ἕτερος κανὼν τοῦ ἀριστοβούλου, inc. Ἀνατραφεὶς μὲν νῦν ἐν τῷ νόμῳ quem proximum referimus

heirm. α' EE 229, n. 328, Germani 2-3 τοῦ ἱεράρχου τὴν φαιδρὰν μνήμην / ἐν ᾠδαῖς πνευματικαῖς ἀνυμνήσωμεν Vm

τὸν ὄντως ὄντα Θεόν,
τὸν δεδωκότα αὐτῷ θαυμάτων χάριν.

Ὡς ἱερεὺς σὺ τῶν μυστηρίων
τῆς ἐκκλησίας τοῦ Χριστοῦ,
ἅγιε Πιόνιε, κηρύττων εὐσέβειαν,
ἐφώτισας τοὺς λαοὺς
τῇ ἐπιγνώσει τῶν θείων σου δογμάτων.

Ὡς παριστάμενος σὺν ἀγγέλοις
τῷ οὐρανίῳ βασιλεῖ
τοῖς ἐπιτελοῦσί σου τὴν μνήμην ἱκέτευε
δοθῆναι τὸν ἱλασμόν,
μάρτυς Πιόνιε ἱεροκῆρυξ.

θεοτ. * Ἡ συλλαβοῦσα τὸν πρὸ αἰώνων
ἄναρχον Λόγον τοῦ πατρὸς
καὶ σαρκὶ τεκοῦσα ὑπὲρ λόγον, πανύμνητε,
ἱκέτευε ἐκτενῶς
τοῦ λυτρωθῆναι ἡμᾶς ἐκ τῶν κινδύνων.

f. 50ᵛ ᾠδὴ β'. *Πρόσεχε,*
οὐρανέ, καὶ λαλήσω

Ἄισμασι
τοῦ ἱεράρχου τὴν μνήμην
πανηγυρίσωμεν·
ὡς παρρησίαν γὰρ ἔχων
πρεσβεύει εἰς τὸ σωθῆναι ἡμᾶς.

Ἐνέβαλες
ἑαυτῷ τὰς ἁλύσεις,
μὴ ὅλως θέλων γλυπτοῖς
προσαγάγαι θυσίαν,
Πιόνιε παμμακάριστε.

5 χάριν om. Vu 6 σοι Ck συ om. Vu 16-20 θεοτ. MR II, 28
16 Ἡ] Ὡς MR
Odem β' om. Vm Vu
heirm. β' EE 226, n. 324, Germani 27 σεαυτῷ Vb Vu

Ἀδάμαντος
ἀναλαβὼν καρτερίαν,
μάρτυς Πιόνιε,
τῶν ἐχθρῶν κολακείαις
οὐκ ἧξας οὐδὲ ἐκάμφθης τὸν νοῦν.

θεοτ. * Ἄχραντε
θεοτόκε παρθένε,
μόνη πανύμνητε,
τὸν υἱόν σου δυσώπει
τοῦ σωθῆναι τοὺς ὑμνοῦντάς σε.

ᾠδὴ γ΄. *Ὁ στερεώσας λόγῳ τοὺς οὐρανοὺς*

Ὡς ἱερεὺς ὑπάρχων καὶ μιμητὴς
τῶν Χριστοῦ δογμάτων,
λαοὺς ἐφώτισας
ταῖς διδαχαῖς σου, ὅσιε,
κηρύττων τὴν Τριάδα ὁμότιμον.

Ἀθλητικὴν ἀνδρείαν ἀναλαβών,
ὥσπερ ἄλλου πάσχοντος
ἐκαρτέρησας·
διὸ καὶ θῦμα γέγονας
ὁλοκαυτωθεὶς ἐν πυρὶ τῷ Θεῷ.

Ὡς παρρησίαν ἔχων πρὸς τὸν Θεόν,
ἱερομάρτυς πάτερ
σοφὲ Πιόνιε,
ἱκέτευε τοῦ σωθῆναι
τοὺς ἐπιτελοῦντας τὴν μνήμην σου.

θεοτ. Ὁ βασιλεὺς τῆς δόξης καὶ λυτρωτὴς
ἐκ βαφῆς αἱμάτων

36-40 θεοτ. Anth. I, υξζ΄ 40 τοὺς ὑμνοῦντάς σε] ἀνυμνοῦντάς σε Vb heirm. γ΄ EE 226, n. 324, Germani sed in Db Vm idem heirm. hanc variam lectionem in extremo versu offert: τῆς δοξολογίας σου, κύριε | καὶ δοξολογίαν σου, Κύριε EE 56-60 θεοτ. om. Ck

τῆς θεομήτορος
τὴν ἑαυτοῦ ἁλουργίδα
βάψας μυστικῶς ἐπορφύρωσεν.

f. 51 ᾠδὴ δ΄. *Μυστικῶς ὁ προφήτης προορῶν*

Τὸν ἀθλοφόρον πάντες τοῦ Χριστοῦ
ἐν ᾠδαῖς εὐφημήσωμεν λέγοντες·
« ἐκτενῶς δυσώπησον
ῥυσθῆναι τῶν κινδύνων τὰς ψυχὰς ἡμῶν ».

Τὴν ἱεράν σου μνήμην οἱ πιστοὶ
ἀξιοχρέως τιμῶμεν, Πιόνιε
ἀθλοφόρε πάνσοφε,
ἐπαίνοις καὶ ψαλμοῖς ἑορτάζοντες.

Ὡς παρρησίαν ἔχων πρὸς Θεόν,
ἱκετεύων μὴ παύσῃ, Πιόνιε,
ῥυσθῆναι πάσης θλίψεως
τοὺς ἐπιτελοῦντας τὴν μνήμην σου.

θεοτ. Χαῖρε, παρθένε, πύλη μυστική,
δι᾽ ἧς ἄσαρκος Λόγος Θεὸς εἰσελθών,
σεσαρκωμένος ἐξῆλθεν,
ἄφθορον φυλάξας τὴν μήτραν σου.

ᾠδὴ ε΄. *Ὁ ἐκ νυκτὸς ἀγνοίας*

Ἀθλητικῶς τὸν δρόμον
f. 51v τῆς εὐσεβείας τελέσαντα, ‖ ἔνδοξε,
πίστει νῦν εἰσελθόντες
πάντες εὐφημοῦμέν σε, μάρτυς Χριστοῦ.

heirm. δ΄ et ε΄ EE 226, n. 323, Germani 64 ῥυσθῆναι ἐκ [illegible]ύνων τοὺς δούλους σου Db Vm Vb 69 πρὸς τὸν Θεὸν Db Vm 73 [illegible]η παρθένε Vm Vb 74 ὁ ἄσαρκος Vm Vb

Τῆς δυσσεβοῦς μανίας
τοὺς ἐν τῇ Σμύρνῃ ῥυσάμενος, ὅσιε,
δόγμασιν εὐσεβείας
τὸ φῶς τὸ τῆς Τριάδος ἐκήρυξας.

Προεκπυρώσας, μάρτυς,
τῆς θεολέκτου καρδίας τὴν κάμινον,
ἔδειξας θερμοτέραν
τῆς τῶν διωκτῶν ἀναφθείσης πυρᾶς.

θεοτ. Τῶν Χερουβὶμ φανεῖσα
τιμιωτέρα, παρθένε πανύμνητε,
πρέσβευε τῷ υἱῷ σου
σῶσαι τὰς ψυχὰς τῶν ὑμνούντων σε.

ᾠδὴ ς'. *Ὡς τὸν προφήτην ἐρρύσω*

Ἀθλητικὸν διανύσας
δρόμον ὁ ἱεράρχης καὶ μάρτυς Χριστοῦ,
διπλοῦν ἀνεπλέξατο
τῆς νίκης τὸν στέφανον,
ὡς ἀεὶ πρεσβεύων
ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Τὰς ἀπειλὰς καὶ στρεβλώσεις
τῶν ἀθέων τυράννων ὑπέμεινας
καὶ τέλος τὸ σῶμά σου
πυρὶ παραδέδωκας
καὶ ἐλογίσθης, μάρτυς,
ὁλοκαύτωμα τῷ Θεῷ.

Τῆς ἐκκλησίας τὴν δόξαν
κατεκόσμησας, μάρτυς Πιόνιε,

81 μανίας] λατρείας Vu 82 τοὺς] τῆς Vu 84 φῶς τὸ τῆς τριάδος κηρύξας αὐτοῖς Vm 92 σωθῆναι Vu
heirm. ς' EE 226, n. 323, Germani 97 καὶ ἀεὶ πρεσβεύει cdd. excepte Ck
104 ὁλοκαύτωμα δεκτὸν τῷ θεῷ Db Vu θῦμα ἐκλεκτὸν τῷ Θεῷ Vm

τοῖς θείοις σου δόγμασι·
λαοὺς κατεφώτισας
ἐν σταδίῳ σαφῶς,
ἐρευνῶν τὰς θείας γραφάς.

θεοτ. * Ὁ τεχθεὶς ἐκ παρθένου
καὶ τὸν κόσμον φωτίσας, Χριστὲ ὁ Θεός,
κἀμὲ τῶν πταισμάτων μου
ῥῦσαι ὡς φιλάνθρωπος
καὶ κυβέρνησον
τὴν ζωήν μου, δέομαι.

f. 52 Κάθισμα.

Ἦχος δ'. *Ταχὺ προκατάλαβε*

Λαμπρύνεις τὰ πέρατα
....

ᾠδὴ ζ'. *Ὁ ἐν ἀρχῇ*

Ὡς ἀριστεὺς
τῆς ἄνω βασιλείας
καὶ μιμητὴς
τοῦ πάθους τοῦ σωτῆρος,
διπλοῖς στεφάνοις κατεκοσμήθης,
σεβάσμιε ἀθλητὰ
μάρτυς Πιόνιε.

Ἀθλητικῶς
τὸν δρόμον ἐκτελέσας,
μάρτυς Χριστοῦ
Πιόνιε θεράπον,

109 σαφῶς] σοφῶς Vm Vb Vu 111-116 θεοτ. MR I,31 θεοτ. om. Ck κάθ. MR II, 254, idem κάθ. Vu post odem γ' refert
heirm. ζ' EE 226, n. 323, Germani 121 κατεκοσμίσθης Db Vu

αὐτὸν δυσώπει ἀδιαλείπτως
σωθῆναι πάντας ἡμᾶς
τοὺς ὑμνοῦντάς σε.

Μάρτυς Χριστοῦ
Πιόνιε, δυσώπει
ὑπὲρ ἡμῶν
ἀπαύστως τὸν σωτῆρα,
ἵνα ῥυσθῶμεν πάντες κινδύνων
οἱ τὴν μνήμην σου πιστῶς
πανηγυρίζοντες.

θεοτ. * Ὁ ἐν γαστρὶ
τῆς παρθένου οἰκήσας
καὶ ἐν αὐτῇ
τὸν Ἀδὰμ ἀναπλάσας,
εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας,
κύριε ὁ Θεὸς
τῶν πατέρων ἡμῶν.

f. 52v ᾠδὴ η'. *Τὸν ἐν ὄρει*

Ὁ τὴν πλάνην
διώξας ἐκ τῆς Σμύρνης,
πρὸς τὴν πόλιν
ὡδήγησας τὴν ἄνω
καὶ ἐφ' ὕδωρ τὸ τῆς ἀναπαύσεως
πάντα τὸν λαόν σου,
μάρτυς ἀθλοφόρε,
εὐχαῖς σου διαθρέψας.

Σὺ τὴν γνῶσιν
τῇ πράξει κεκτημένος,
τῆς ἀπάτης

129-130 om. Vb 135 πάντες] παντὸς Vu 138-144 θεοτ. MR V,116
heirm. η' EE 226, n. 323, Germani 148 ὡδηγήσας Vm 149 ἐπὶ
ὕδωρ Vm

τὴν πλάνην ἀπεκρούσω
καί, τῶν παθῶν τὴν ζάλην ἐκφευξάμενος,
εὗρες κατοικίαν
τὴν τῆς ἀπαθείας
Σιὼν τὴν ἄνω πόλιν.

Ἀθλοφόρε,
Χριστὸν τοῦ ἱκετεύειν
μὴ διαλείπῃς
ὑπὲρ τῶν ἐκτελούντων
τὴν παναγίαν μνήμην σου λυτρώσασθαι
βλάβης ἐναντίας
καὶ τῆς βασιλείας
ἡμᾶς ἀξιωθῆναι.

θεοτ. * Τὸν ἐν μήτρᾳ
οἰκήσαντα παρθένου
καὶ ἐκ ταύτης
φρικτῶς καὶ ὑπὲρ λόγον
τὸν παλαιὸν Ἀδὰμ ἀνακαινίσαντα
κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

ᾠδὴ θ'. *Τὸν προδηλωθέντα ἐν ὄρει τῷ νομοθέτῃ*

Ὁ δι' ἀπαθείας καὶ πίστεως καὶ ἐλπίδος
καὶ ἀγάπης λόγῳ ἡμᾶς
ζωὴν τὴν αἰωνίαν
ἐκδιδάξας, ἱερομάρτυς κυρίου,
πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀξιοπρεπῶς σε ὑμνεῖ ἡ σύμπασα κτίσις
ὡς προστάτην ὄντα θερμὸν
τῶν πιστῶς προσιόντων

163 ἐλλείπῃς Vm Vu 164 τῶν ἐκτελούντων] τῶν σε [illegible]ούντων Vu
168 ἡμᾶς] αὐτοῦ Vu 169-176 θεοτ. MR I,34 θεοτ. om. [illegible]
heirm. θ' EE 226, n. 324, Germani 183 ὄντως Vu

τῇ εἰκόνι καὶ τῶν λειψάνων τῇ θήκῃ
καὶ τῇ ἐπικλήσει σου, Πιόνιε.

Τὸν θεοσεβῆ σου βίον, μάρτυς τοῦ κυρίου,
ἡ Σμυρνέων πόλις πᾶσα
χρυσῆν ὡς στήλην κατέχει·
ἀλλὰ πρέσβευε ὑπὲρ τῶν ἐκτελούντων
τὴν ἁγίαν μνήμην σου, Πιόνιε.

θεοτ. * Σὺ εἶ, θεοτόκε, τὰ ὅπλα ἡμῶν καὶ τεῖχος·
σὺ εἶ ἡ ἀντίληψις
τῶν εἰς σὲ προστρεχόντων·
σὲ καὶ νῦν εἰς πρεσβείαν κινοῦμεν,
ἵνα λυτρωθῶμεν τῶν ἐχθρῶν ἡμῶν.

185 λειψάνων σου θήκῃ Vu 186 Πιόνιε] πανόλβιε Db Vb 189 ἔχει Db Vm Vb 192-196 θεοτ. MR II, 270 θεοτ. om. Ck 193 ἡ om. Vm Vu

IN SANCTUM ARISTOBULUM

Synaxarium, 539: .....τοῦ ἁγίου ἀποστόλου Ἀριστοβούλου ἑνὸς τῶν ἑβδομήκοντα, ἀδελφοῦ τοῦ ἁγίου Βαρνάβα τοῦ ἀποστόλου. Οὗτος ..... ἠκολούθει τῷ ἁγίῳ ἀποστόλῳ Παύλῳ κηρύττοντι τὸ εὐαγγέλιον εἰς πᾶσαν τὴν οἰκουμένην, διακονῶν αὐτῷ· ὑφ' οὗ καὶ χειροτονεῖται ἐπίσκοπος εἰς τὴν χώραν τῶν Βρεττανῶν, ἀγρίων ἀνθρώπων καὶ ὠμοτάτων. Παρ' ὧν ποτὲ μὲν τυπτόμενος, ποτὲ δὲ κατὰ τῆς ἀγορᾶς συρόμενος, πολλοὺς ἐποίησε προσελθεῖν τῷ Χριστῷ ὅθεν καὶ ἐκκλησίαν συστησάμενος καὶ πρεσβυτέρους καὶ διακόνους ἐν αὐτῇ καταστήσας ἐτελειώθη.

Crypt. Δ.α. XVII = Ck, ff. 50-53

Ἕτερος κανὼν τοῦ Ἀριστοβούλου

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Τῷ ἐκτινάξαντι ἐν θαλάσσῃ*

Ἀνατραφεὶς μὲν νῦν ἐν τῷ νόμῳ
καὶ καταλείψας τὴν σκιάν,
προσῆλθες τῇ ἀληθείᾳ Χριστῷ, Ἀριστόβουλε,
καὶ ἔλαβες παρ' αὐτοῦ
ἀποστολὴν καὶ ἐξῆλθες εἰς τὰ ἔθνη.

Μετὰ τοῦ Πέτρου τοῦ κορυφαίου,
τοῦ ἀποστόλου τοῦ Χριστοῦ,
ἔδραμες, ἀοίδιμε, κηρύττων τοῖς πέρασιν
τὸν Λόγον, πάτερ σοφέ,
καὶ εὐαγγέλιον τῆς σωτηρίας.

Ck, ut supra diximus, canonem in divum Aristobulum, alternatis odis, una cum in divum Pionium praebet.
heirm. α' EE 229, n. 328, Germani 3 τὴν ἀλήθειαν

Νικόδημον καὶ Νίκανδρον, πάντας
κατὰ τῆς πλάνης νικητὰς
τῇ ὑπομονῇ αὐτῶν φανέντας τοὺς μάρτυρας,
πάντες πνευματικῶς
ἐν ἐγκωμίοις τιμήσωμεν ἀξίως.

θεοτ. * Ἡ προστασία τῶν θλιβομένων,
ἡ σωτηρία καὶ ἐλπὶς
τῶν ἀπεγνωσμένων, θεοτόκε πανύμνητε,
f. 50v ἱκέτευε || ἐκτενῶς
τοῦ λυτρωθῆναι ἡμᾶς ἐκ τῶν κινδύνων.

ᾠδὴ β'. *Πρόσεχε,*
οὐρανέ, καὶ λαλήσω

Λευΐτην σε
καὶ ἀδελφὸν τοῦ Βαρνάβα
καὶ συναπόστολον
οἱ πιστοὶ ἐγνωκότες,
τὴν μνήμην σου ἑορτάζομεν.

Ἐκήρυξας
τὰ μεγαλεῖα κυρίου
πᾶσιν τοῖς πέρασιν,
Ἀριστόβουλε πάτερ·
διό σε μακαρίζομεν.

Νίκανδρον
καὶ Νικόδημον, πάντας
ὡς ἐραστὰς τοῦ Χριστοῦ,
εὐφημήσωμεν πάντες,
νικήσαντας τὸν ἀντίπαλον.

θεοτ. * Ἄχραντε
θεοτόκε παρθένε,

heirm. β' EE 226, n. 324, Germani Anth. I, υξζ'   32 πάντες   37-40 θεοτ.

μόνη πανύμνητε,
τὸν υἱόν σου δυσώπει
σωθῆναι τοὺς ἀνυμνοῦντάς σε.

ᾠδὴ γ'. *Ὁ τὴν γῆν ἑδράσας*
τοῖς ὕδασι, Χριστὲ ὁ Θεός,
κἀμὲ ἐλέησον
καὶ σῶσον ὡς φιλάνθρωπος.

Ὡς μαθητὴν αὐτοῦ
καὶ κήρυκα τῆς πίστεως,
Ἀριστόβουλε,
Χριστὸς ὡσαύτως ἐδόξασεν.

Παρρησίαν ἔχων
ὡς μάρτυς καὶ ἀπόστολος
ἀπαύστως πρέσβευε
σωθῆναι τοὺς τιμῶντάς σε.

f. 51 || Τοῦ σταυροῦ τὸ ὅπλον
κατέχοντες οἱ ἅγιοι,
ἐν τούτῳ ἔτρωσαν
τὴν πλάνην τοῦ δολίου ἐχθροῦ.

θεοτ. Ἡ σαρκὶ τεκοῦσα,
παρθένε, τὸν τῶν ὅλων Θεόν,
αὐτὸν ἱκέτευε
σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κάθισμα.

Ἦχος α'. *Χορὸς ἀγγελικὸς*

Ἀπόστολος Χριστοῦ
ἀνεδείχθης, τρισμάκαρ,

heirm. γ' in EE deest
heirm. καθ. MR III, 507

τὰ ἔθνη διὰ σοῦ
φωτισθέντα τῇ πίστει,
σοφὲ Ἀριστόβουλε,
καὶ Τριάδα γνωρίσαντα·
ὅθεν σήμερον
τὴν παναγίαν σου μνήμην
ἑορτάζομεν
καὶ εὐσεβῶς ἀνυμνοῦμεν
τὸν σὲ μεγαλύναντα.

ᾠδὴ δ'. *Εἰσακήκοα, κύριε,*

Γλυκασμὸς ἐκ χειλέων σου
νῦν ἀποστάζει, θεόφρον πάτερ,
καὶ ἡδύνει, Ἀριστόβουλε,
τὴν ἐκκλησίαν Χριστοῦ
καὶ πάντας εὐφραίνει ἀεί.

Τοὺς προστρέχοντας σήμερον
καὶ εὐφημοῦντάς σου τοὺς ἀγῶνας,
Ἀριστόβουλε πατὴρ ἡμῶν,
τῆς νηστείας τὸ λοιπὸν
τελέσαις ἀπήμαντον.

Τὰς στρεβλώσεις ὑπέμειναν
τῶν παρανόμων οἱ ἀθλοφόροι
καὶ στεφάνους ἐκομίσαντο
παρὰ Χριστοῦ τοῦ Θεοῦ,
ὡς μάρτυρες τίμιοι.

θεοτ. * Χαῖρε, θρόνε πυρίμορφε·
χαῖρε, λυχνία λαμπαδηφόρε,
νοερὸν Θεοῦ θυσιαστήριον,
κιβωτὲ λογική,
ἁγία ἁγίων σκηνή.

heirm. δ' ΕΕ 231, n. 331, Andreae 72-76 θεοτ. TR, 478 sed 74-76 TR his vv. substituit Χαῖρε, ὄρος ἁγιάσματος, / κιβωτὲ τῆς ζωῆς, / ἁγίων ἁγία σκηνή.

f. 51v || ᾠδὴ ε'. *Ἐκ νυκτὸς ἀγνοίας*

Ἐκ νυκτὸς ἀγνοίας
θεογνωσίας ἡμέραν
ὁ τοῦ Χριστοῦ ἀνέδειξε μαθητής,
εἰς τὰ πέρατα πάντα
ἐκλάμψας ὥσπερ θεογνωσίας τὸ φῶς.

Ἐκ νυκτὸς τῆς πλάνης
καὶ σκοτασμοῦ τῶν εἰδώλων
πρὸς φωτισμὸν ἐπανήγαγες ἔθνη,
Ἀριστόβουλε πάτερ,
φωτίσας πάντας τῇ ἐπιγνώσει Χριστοῦ.

Μυστικαῖς ἀκτῖσι
τὸν λογισμὸν θεοφρόνως
καταυγαζόμενοι, μάρτυρες Χριστοῦ,
τὴν ἀχλὺν τῆς ἀγνοίας
θεογνωσίᾳ διεσκεδάσατε.

θεοτ. Κιβωτόν σε καὶ θρόνον
καὶ ἀλατόμητον ὄρος
καὶ ἀδιόδευτον πύλην τοῦ φωτός,
θεοτόκε παρθένε,
ἀνθρώπων γένος δοξολογοῦμεν ἀεί.

ᾠδὴ ς'. *Ὡς τὸν προφήτην ἐρρύσω*

Σὺ τὸν κλύδωνα τῆς πλάνης,
f. 52 διδαχαῖς σου, παμ||μάκαρ, κατηύγασας,
γαλήνην ἀτάραχον

heirm. ε' ΕΕ 227, n. 326, Andreae
heirm. ς' ΕΕ 226, n. 323, Germani

τὴν πίστιν πεποίηκας,
λυτρωσάμενος,
ἐκ κήτους ἡμᾶς τοῦ ἐχθροῦ.

Πᾶσα πόλις καὶ χώρα
σὺν ἡμῖν ἑορτάζει τὴν μνήμην σου,
τοὺς πόνους προσφέρουσα,
πάτερ Ἀριστόβουλε,
καὶ τὰς πράξεις σου
καὶ τὰ κατορθώματα.

Ὡς παρρησίαν λαβόντες
πρὸς Χριστόν, ἀθλοφόροι πανεύφημοι,
αὐτὸν ἱκετεύσατε
κινδύνων ‹λυτρώσασθαι›
τὰς ψυχὰς ἡμῶν,
τῶν πίστει τιμώντων ὑμᾶς.

θεοτ. * Ὁ τεχθεὶς ἐκ Παρθένου
καὶ τὸν κόσμον φωτίσας, Χριστὲ ὁ Θεός,
κἀμὲ τῶν πταισμάτων μου
ῥῦσαι ὡς φιλάνθρωπος
καὶ κυβέρνησον
τὴν ζωήν μου, δέομαι.

ᾠδὴ ζ′. *Ὁ τοὺς παῖδας δροσίσας* ‹*ἐν καμίνῳ*›

Ὁ φωστῆρα ἐν κόσμῳ ἀναδείξας
καὶ διδάσκαλον μέγαν
τὸν σοφώτατον ἱεράρχην,
« εὐλογητὸς εἶ, κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν ».

Τῶν ἁγίων μαρτύρων ἐκτελοῦντες
τὴν πανέορτον μνήμην,

112 λυτρώσασθαι] πανεύφημοι cd. 115-118 θεοτ. MR I, 31 heirm. ζ′ EE 226, n. 324, Germani 121 φωστῆρας cd. 124-125, 129-130, 134-135, 139-140 librarius varie abrumpit orationem

ἐν χαρᾷ σοι, Χριστέ, βοῶμεν·
« εὐλογητὸς εἶ, κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν ».

Ὁ παρασχὼν τοῖς ἁγίοις οὐρανόθεν
ἰαμάτων τὴν χάριν
τοῦ ἰᾶσθαι τοὺς ἀσθενοῦντας,
« εὐλογητὸς εἶ, κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν ».

f. 52v θεοτ. ‖ Ὁ τεχθεὶς ἐκ παρθένου ἀλοχεύτως
καὶ παρθένον φυλάξας
τὴν σὲ τεκοῦσαν μετὰ τὸν τόκον,
« εὐλογητὸς εἶ, κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν ».

ᾠδὴ η′. *Τὸν ἄναρχον βασιλέα*

Ἡ πάνσεπτος
μνήμη τοῦ ἀποστόλου
προτρέπεται
τοῖς πιστοῖς ἐκβοῆσαι·
« ὑμνεῖτε ἱερεῖς,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Ἐξήστραψεν
εἰς τὸν κόσμον ὁ φθόγγος
καὶ ἔλαμψεν
εἰς τὰ πέρατα πάντα
τὰ ἄρρητα τὰ σά,
ἀπόστολε κυρίου,
φωτίζοντα ἀνθρώπους.

Οἱ μάρτυρες
τὸν τῆς πίστεως δρόμον
τελέσαντες,
ἐν χαρᾷ ἀνεβόων·

heirm. η′ EE 229, n. 328, Germani 146-147, 160-161 vv. om cd.

« ὑμνεῖτε ἱερεῖς,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

θεοτ. * Ὡς ἔντιμον
καὶ ὑπέρτατον θρόνον
ὑπάρχουσαν
τοῦ Θεοῦ τὴν μητέρα,
ὑμνήσωμεν, λαοί,
τὴν μόνην μετὰ τόκον
μητέρα καὶ παρθένον.

f. 53 ᾠδὴ θ'. ‖ *Μεγαλύνομέν σε*

Μεγαλύνομέν σε
τὸν ἀπόστολον Χριστοῦ,
τὸν κηρύξαντα πᾶσιν
τὸ εὐαγγέλιον αὐτοῦ
καὶ εἰς χεῖρας τὸ πνεῦμα παραθέμενον.

Ὁ τοὺς ἀθλοφόρους
στεφανώσας ὡς Θεός,
ταῖς αὐτῶν πρεσβείαις
καὶ ἡμᾶς ἐξάρπασον
διωγμῶν, ἁμαρτίας ἐλευθέρωσον.

Τοὺς σεπτῶς τελοῦντας
τὰ μνημόσυνα ὑμῶν,
Ἀριστόβουλε πάτερ,
τῷ σωτῆρι τῶν ὅλων
ἱκετεύων μὴ παύσῃ τοῦ σωθῆναι ἡμᾶς.

θεοτ. Προσκυνοῦμέν σε
ὡς μητέρα τοῦ Θεοῦ
καὶ αἰτούμεθα
τοῦ πρεσβεύειν ἀπαύστως
τὸν σωτῆρα τῶν ὅλων τοῦ σωθῆναι ἡμᾶς.

162-168 θεοτ. MR V, 192 168 παρθένον φυλαχθεῖσαν MR
heirm. θ' EE 228, n. 326, Andreae

IN SANCTUM MENIGNUM

Synaxarium, 537: Ἐπὶ τῆς βασιλείας Δεκίου κναφεύς... ὧν καὶ τὸν ῥύπον τῶν ἱματίων αὐτοῦ ποτε ἐν τῷ ποταμῷ ἀποπλύνων, ἤκουε φωνῆς λεγούσης αὐτῷ· « Μένιγνε, ἐλθὲ πρός με καὶ δώσω σοι χάριν πολλήν ». Ὁ δὲ Μένιγνος... ἀπελθὼν δέδωκεν εὐθὺς ὅσα κατεῖχεν ἀλλότρια ἱμάτια... Καὶ μεθ' ἡμέρας τινὰς καταλαβόντος τοῦ ἄρχοντος ... τὸ τοῦ βασιλέως περὶ τοῦ δόγματος ὑπανεγίγνωσκε πρόσταγμα. Τότε ὁ θεῖος οὗτος Μένιγνος θάρσους πλησθεὶς μέσον τε εἰσπηδήσας καὶ τὰ τοῦ βασιλέως ἁρπάσας γράμματα ἐκ τῶν χειρῶν τοῦ ἄρχοντος καὶ εἰς λεπτὰ κατακόψας κατεπάτησεν εἰπών· « Ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ μου ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσομαι καὶ καταπατήσω λέοντα καὶ δράκοντα καὶ παράνομα Δεκίου προστάγματα » ..... Καὶ ὁ ἄρχων· « Τοῦτον τὸν μωρόν, φησίν, ... κρεμάσαντες ξέσατε εὐτόνως τὰς σάρκας αὐτοῦ καὶ ἴδωμεν εἰ ἔλθῃ ὁ Χριστὸς αὐτοῦ σῶσαι αὐτόν ». ..... « τούς... δακτύλους ... κατακόψαντας εἰς λεπτὰ κελεύω ἐκτμηθῆναι ». ..... καὶ ἐξῆλθεν ἀντὶ αἵματος γάλα..... Ὁ δὲ ἅγιος τὸν Χριστὸν ὁμολογήσας ἐνώπιον πάντων καὶ τὸν βασιλέα ἀναθεματίσας..... ἐξέπληξεν ἅπαντας καὶ ξίφει τὴν κεφαλὴν αὐτοῦ ὡρίσθη ἀποτμηθῆναι..... ὤφθη δὲ τοῖς παροῦσι θαῦμα ἐξαίσιον..... Εἶδον γὰρ ὡς τρυγόνα καθαρὰν ἐκ τοῦ στόματος τοῦ ἁγίου ἐξελθοῦσαν καὶ εἰς οὐρανοὺς ἀναπτᾶσαν..... καὶ ἐφάνη τινὶ τῶν ἀδελφῶν ὁ ἅγιος λέγειν· « τῆς κεφαλῆς μου..... σπουδάζοντες ἐπελάθεσθε· ἀλλ' ὑπόστρεψον καὶ λάβε αὐτὴν μηδένα φόβον ὑφορώμενος ». ..... Καὶ φθάσας τὸν τόπον ἄστρον εἶδε λάμπον ἐπάνω τῆς κεφαλῆς τοῦ μάρτυρος, καὶ λαβὼν αὐτὴν ὑπέστρεψε μετὰ χαρᾶς πρὸς τοὺς ἀδελφούς.

Mess. gr. 163	=	Mg, ff. 71-76
Reg. gr. 61	=	Lo, ff. 6-7^{v}
Paris. gr. 1575	=	Pv, ff. 14^{v}-15^{v}
Reg. gr. 58	=	Ln, ff. 51-51^{v}

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Ἄθλους Μενίγνου χριστοτερπῶς αἰνέσω. Ἰωσήφ.

Ἦχος δ'.

ᾠδὴ α'. *Τῷ ὁδηγήσαντι πάλαι*

Ἀθλητικῶς ἀριστεύσας
καὶ τὸν ἐχθρόν, Μένιγνε,

Acrost. Ἄθλους Μενίγνου χριστοπρεπῶς αἰνέσω Ἰωσὴφ Lo
heirm. α' EE 106, n. 149, Andreae

καταπατήσας ἀνδρικῶς,
νίκης βραβεῖον τὰ θαύματα,
μάρτυς, ἐδέξω, πανθαύμαστε·
ὅθεν σου τὴν ἱερὰν χαρμονικῶς
μνήμην γεραίρομεν.

Θεογνωσίας ἀκτῖνας
ἐν τῇ ψυχῇ, Μένιγνε,
ὑποδεξάμενος σαφῶς,
τῆς ἀγνωσίας ἐξέφυγες
σκότος βαρύτατον, ἔνδοξε,
καὶ ἔλαμψας ὑπὲρ τὸν ἥλιον καλῶς
ἀγωνισάμενος.

Λελογισμένως τὸν βίον
τὸν σὸν τελῶν, Μένιγνε,
f. 71v φω‖νῆς ἀκούεις ἐκ Θεοῦ
προσενεχθείσης σοι ἄνωθεν,
πρὸς τοὺς ἀγῶνας καλούσης σε,
τέλεον τῶν προσταγμάτων τοῦ ἐχθροῦ
καταφρονήσαντα.

θεοτ. Ὁ ὑπερούσιος Λόγος
οὐσιωθείς, πάναγνε,
τὸ καθ' ἡμᾶς δίχα τροπῆς
ὑπερβαλλόντως ἐθέωσεν
καὶ τοὺς χοροὺς ἐπεσπάσατο,
ἄχραντε, τῶν ἀθλητῶν τὸν δυσμενῆ
καταπαλαίσαντας.

4 βραβείων Pv 7 γεραίρομεν] δοξάζομεν Pv 8 ἀκτῖσι Lo Pv 10 καταπατήσας ἀνδρικῶς in Pv, cfr. v. 3 σαφῶς] σοφῶς Ln 13 καὶ ἔλαμψας Lo Ln om. 18 προσενεχθεῖσαν Pv 20 τέλαιον Lo Pv 28 καταπαλαίσαντα Pv

ᾠδὴ β'. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι
ὁ Θεὸς ⟨ὁ Λόγος⟩,
ὁ ἐν τοῖς κόλποις τῆς μητρὸς
ἀπεριγράπτως εἰσδὺς
μὴ χωρισθεὶς τοῦ πατρός·
ὡς Θεὸς γὰρ συμπληρῶ
σὺν τοῖς ἄνω τὰ κάτω
καὶ παρέχω τὸ μέγα ⟨ἔλεος⟩.

Ὑπὸ τῆς χάριτος,
μάρτυς, καλούμενος,
αὐθαιρέτῳ γνώμῃ
πρὸς τοὺς ἀπείρους αἰκισμοὺς
καὶ σπαραγμοὺς τῶν μελῶν
χωρεῖς τελείῳ νοΐ,
καὶ ὡς ἄσαρκος φωτὶ
ὑπομείνας ἐστέφθης
ἀφθαρσίας θείοις διαδήμασιν.

Σὺ τὸ παράνομον
δόγμα προσφοιτῆσαν
f. 72 καθορῶν, παμμά‖καρ,
προτεθειμένον δολερῶς,
ζήλου πλησθεὶς θεϊκοῦ,
ἀφανισμῷ παντελεῖ
διαρρήξας ταῖς χερσὶ
παραδέδωκας, μάρτυς,
στηλιτεύων τοὺς ματαιόφρονας.

Μόνον τὸν κύριον
σέβειν ὑπέδειξας
ἱεροῖς σου λόγοις
σεσαρκωμένον ἐπὶ γῆς

ode β' in Lo Pv deest
heirm. β' EE 104, n. 147, Andreae 3 ὁ Θεὸς λόγος EE ὁ Λόγος om. cd.; 3 ὁ post Θεὸς addidi metri causa 7 συμπληρῶν 9 παρέχων cd. ἔλεος om. cd.

τῷ παλαμναίῳ ἐχθρῷ
ἀντιταττόμενος
καὶ τυφθεὶς καὶ συντριβεὶς
αἰκισμοῖς τὸ σαρκίον
ὥσπερ ἄλλου πάσχοντος ὑπέμεινας.

θεοτ. Ἔτεκες, ἄχραντε,
Λόγον ἀΐδιον
τοῦ πατρὸς ἐν εἴδει
βροτὸν ὀφθέντα ἐπὶ γῆς
καὶ τὸν διδόντα τροφὴν
πᾶσι σαρκὶ ἀληθῶς
ἐκ μαζῶν παρθενικῶν,
σὺ διέθρεψας μόνη,
θεοτόκε, πύλη τῆς ζωῆς ἡμῶν.

ᾠδὴ γ΄. *Μὴ καυχάσθω ὁ καυχώμενος*

f. 72v || Νόμοις θείοις βεβαιούμενος
τοῖς παρανόμοις,
γενναίως ἀντέστης
καὶ κρεμασθεὶς μετέωρος
ξεσμοὺς ὑπήνεγκας,
ὥσπερ ἄσαρκος, ἀθλητά,
δαπανώμενος
ταῖς τῶν σιδήρων τομαῖς.

Ἰταμῶς μὲν ὁ παράνομος
καθυπεμβαίνει
τοῖς πόνοις οἰόμενος
ὑποχαλᾶν τὸ εὔτονον
τῆς διανοίας σου,
ἀλλ᾽ ἡττήθη, μάρτυς σοφέ,
ταῖς ἀτρέπτοις σου
ὄντως ἐνστάσεσιν.

heirm. γ΄ EE 106, n. 149, Andreae 67 γενναῖος Lo 72 τομαῖς] ὁρμαῖς Mg 73 ἰταμὸς Mg Lo Ln παράνομος] τύραννος Pv 75 τοὺς πόνους ἰώμενος Lo 78 ἡττήθης Lo

Γυμνουμένων ταῖς αἰκίσεσιν
τῶν ἱερῶν σου
πλευρῶν, ἀθλοφόρε,
χαριστηρίους, Μένιγνε,
ᾠδὰς ἀνέπεμπες
τῷ διδοῦντί σοι τὴν ἰσχὺν
τὸν ἀνίσχυρον
καταπαλαῖσαι ἐχθρόν.

θεοτ. Νόμοι φύσεως καινίζονται
ἐν σοί, παρθένε·
Θεὸν γὰρ ἀτρέπτως
σάρκα ἐκ σοῦ γενόμενον
ἐκυοφόρησας,
ἀναπλάττοντα τῶν βροτῶν
τὴν παλαίωσιν,
θεοχαρίτωτε.

ᾠδὴ δ΄. *Εἰσακήκοα ὁ Θεὸς*

Οἱ κρουνοί σου τῶν ἱερῶν
f. 73 αἱμάτων, || μάρτυς,
τὸ πῦρ τῆς πλάνης
ἐναπέσβεσαν καὶ ἤρδευσαν
τὰς καρδίας, Μένιγνε,
τῶν εὐσεβῶν ἐνθέως τιμώντων σε.

Ὑπερζέων τῇ εἰς Θεὸν
θερμῇ ἀγάπῃ,
θεόφρον μάρτυς,
πόνους ἔφερες, τὴν ἄπονον
λῆξιν προξενοῦντάς σοι
καὶ τὴν ἐκεῖσε μένουσαν εὔκλειαν.

81 αἰκίσεσιν] ἀσκήσεσι Lo 88 καταπαλεύεσθαι Mg καταπ[illegible]ιν Lo Ln καταπαλέσαι Pv 89 κενίζοντας Lo 95 v. om. Pv
heirm. δ΄ EE 107, n. 150, Andreae

Χεῖρας βλέπων τὰς πρὸς Θεὸν
ἀνυψουμένας
συγκοπτομένας,
οὐ κατώκλασας, ἀλλ' ἔμεινας
ἀκλινὴς τὸ φρόνημα,
μάρτυς Χριστοῦ, πανθαύμαστε Μένιγνε.

θεοτ. Ῥήσει σῶν χειλέων, ἁγνή,
ἀκολουθοῦσαι
εἰς τοὺς αἰῶνας,
γενεαί σε μακαρίζουσι,
τῶν ἀνθρώπων τέξασαν
ἐπὶ τῆς γῆς Θεὸν ἀναμάρτητον.

ᾠδὴ ε'. *Ἀνάτειλόν μοι, κύριε,*

Ἱστάμενος ἐπίπροσθεν
τοῦ πλάνου καὶ κρινόμενος
τὸν κατακρίναντα τὴν ἔχθραν σταυρῷ
ἡμῖν ὁμοιωθέντα
Θεὸν ὡμολόγησας,
εἰκονίζων πάθει σου
τὰ παθήματα αὐτοῦ.

Σοῦ τῶν χειρῶν ἀφείλατο
f. 73v δακτύλους || ὁ παράνομος·
τοὺς γὰρ ἐλέγχους σου οὐκ ἔφερεν
οὐδὲ τὴν παρρησίαν,
ἣν πάντες ἐθαύμασαν
οἱ ὁρῶντες, Μένιγνε,
ἀθλητῶν ἡ καλλονή.

Τῶν σῶν δακτύλων, Μένιγνε,
προστάξει τοῦ δικάζοντος

112-113 ἀκλινεῖς τὸ φρόνημα / ἔσχες, παναοίδιμε Pv 115 Ῥήσεις Lo Pv Ln σῶν] τῶν Pv 116 ἀκολουθοῦσα Lo 118 μακαρίζομεν Lo 119 τέξασα Lo Ln 120 τῆς Pv Ln om.

heirm. ε' EE 106, n. 149, Andreae 126 πάθη Ln 135 Μένιγνε] ἔνδοξε Lo

ἐκκοπτομένων ἀντὶ αἵματος
ἐναπέσταξε γάλα,
Θεοῦ σε δοξάζοντος,
ὃν τοῖς σοῖς ἐδόξασας,
μάρτυς, μέλεσι σαφῶς.

θεοτ. Ὀχύρωσόν μου, πάναγνε,
τὸν νοῦν περιτρεπόμενον
ταῖς ἐπηρείαις τοῦ ἀλάστορος
καὶ νεύοντα πρὸς πάθη
τῆς σαρκὸς ἑκάστοτε,
ὅπως μακαρίζω σε
καὶ τιμῶ καὶ προσκυνῶ.

ᾠδὴ ϛ'. *Ζάλη με*

Τέρπεται
τοὺς ἀγῶνάς σου τιμῶσα
ἐτησίως, Μένιγνε,
ἡ τοῦ Χριστοῦ ἐκκλησία
καὶ τελεῖ σου τὴν μνήμην ἱερῶς,
ἐν ᾗ σε συνελθόντες,
ἀνευφημοῦμεν γηθόμενοι.

Ἐδέθης
καὶ ἐδέσμευσας τὴν πλάνην·
f. 74 || φυλακαῖς ὡμίλησας
ὡς φύλαξ δικαιωμάτων
τοῦ σωτῆρος ὑπάρχων, ἀθλητά,
τοῦ νίκαις ἱεραῖς σου
τὴν κεφαλὴν καταστέψαντος.

Ῥήγνυται
πρὸ ποδῶν σου ὁ Βελίαρ
καὶ γέλωτα ὤφλησεν,

144 ταῖς] πρὸς Lo

heirm. ϛ' EE 107, n. 150, Andreae 157-158 τὴν πλάνην / φυλακαῖς ὡμίλησας om. Ln

διὰ σαρκὸς ἀσθενείας
ἐκνικώμενος, μάρτυς, ὁ τὴν γῆν
καὶ θάλασσαν ἀφρόνως
νῦν ἐξαλείφειν καυχώμενος.

θεοτ. Πάλαι σε
μανναδόχος εἰκονίζει
στάμνος, παναμώμητε·
τὸ θεῖον γὰρ φέρεις μάννα,
διατρέφον ἡμᾶς τοὺς τῇ πικρᾷ
θανατωθέντας βρώσει
καὶ πρὸς φθορὰν ὀλισθήσαντας.

ᾠδὴ ζ΄. *Τῇ εἰκόνι τῇ χρυσῇ*

Ὡς ἐπίσημος κριὸς
f. 74v προσανηνέχθης || θυσίᾳ
καθαρωτάτῃ, μάρτυς πολύαθλε,
τῷ διὰ σὲ τεθυμένῳ Λόγῳ
θανατώσας τὸν ἐχθρὸν
ἑκουσίᾳ σοῦ σφαγῇ
καὶ μέλπεις γηθόμενος·
« εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

Σοῦ κρουσθέντος, ἀθλητά,
ὑπὸ τοῦ ξίφους, ὡράθη
τοῖς παρεστῶσι θαῦμα παράδοξον·
ὥσπερ τρυγὼν γὰρ ὡραιοτάτη
ἐξελθοῦσα παρ' αὐτὰ

169 νῦν ἐξαλείφειν] συνεξαλείφειν Lo 171 μαννοδόχος Lo Pv In Pv post odem ς΄ traditur: κάθισμα· ἦχος δ΄. *Ἐπεφάνης σήμερον* Τὴν ἁγίαν μνήμην σου / ἡ οἰκουμένη / ἑορτάζει σήμερον / ἐν εὐφροσύνῃ καὶ τὰ σὰ / ἀνακηρύττει παλαίσματα, / μάρτυς θεόφρον, / ἀοίδιμε Μένιγνε. sequitur Τὸ συναξάριον· Ἄθλησις τοῦ ἁγίου μάρτυρος Μενίγνου . . . in Ln vero legitur κάθισμα· ἦχος δ΄. Οἱ μάρτυρές σου, κύριε, / ἐν τῇ ἀθλήσει αὐτῶν vide MR I 212; κάθ. om. Mg Lo
heirm. ζ΄ EE 107, n. 150, Andreae 185 v. om. Lo Pv 188 παραστᾶσι Pv 190 παρ'αὐτὰ] παρ' αὐτοῦ Lo Ln

πρὸς οὐρανὸν ἀποφοιτᾷ,
πρὸς ὃν ἀνελήλυθας
ζωαρχικῇ δεξιᾷ
καταστεφθεὶς ἀληθῶς.

Ἀνελθὼν πρὸς οὐρανούς,
ἐνεφανίσθης κυρίῳ
τῷ ἀθλοθέτῃ ἔτι σταζόμενος
τοῖς ὀχετοῖς, μάρτυς, τῶν αἱμάτων
καὶ συνήφθης τοῖς χοροῖς
τῶν ἀθλητῶν, ἀναβοῶν,
παμμέγιστε Μένιγνε·
« εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

θεοτ. Ἱλαστήριον ἡμῶν
τῶν καθ' ἑκάστην πταιόντων,
ἁγνή, ὑπάρχεις, θεοχαρίτωτε·
τὸν γὰρ ἀμνὸν τοῦ Θεοῦ ἀρρήτως
ἀπεκύησας σαρκί,
ὃν ἱκέτευε ἀεὶ
σωθῆναι τοὺς ψάλλοντας·
« εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

ᾠδὴ η΄. *Γῆ καὶ πάντα τὰ ἐν αὐτῇ*

f. 75 || Νοῦν ἐνθέῳ ὑπομονῇ
ἐκέκτησο καιρῷ τῶν αἰκισμῶν,
μάρτυς, νευρούμενος, σοφέ,
καὶ καρδίαν ἀποσκοποῦσαν
τὴν μέλλουσαν δόξαν,
ἧς ἐπέτυχες, ἀγωνισάμενος
τὸν καλὸν ἀγῶνα,
γενναῖε ἀθλοφόρε.

203 v. om Lo Pv Ln 205 πταιόντων] πλεόντων Pv Ln 212 v. om. Lo Pv Ln
heirm. η΄ EE 107, n. 150, Andreae

Ἐπὶ ξύλου ἀναρτηθείς,
ἤνεγκας ἀμέτρους σπαραγμοὺς
μέχρις ὀστέων τῶν πληγῶν
καὶ τῶν πόνων τῶν ἀνυποίστων,
σοφέ, χωρησάντων·
καὶ διέκεισο ὡς ἄλλου πάσχοντος
πόθῳ τοῦ δεσπότου
τὸν νοῦν προσηλωμένος.

Σοῦ τοῖς τραύμασι τῆς σαρκὸς
δαιμόνιος πληθὺς ὡς ἀληθῶς
ἐτραυματίσθη, καὶ ἰδοὺ
ἀνιάτρευτος, μάρτυς, μένει·
πιστοὶ δέ, παμμάκαρ,
τῶν τραυμάτων δεχόμεθα ἴασιν
ταῖς ἀναβλυζούσαις
ἐκ σοῦ θαυματουργίαις.

θεοτ. Ὢ θαυμάτων καινοπρεπῶν,
ἄχραντε, ἐν σοὶ ὡς ἀληθῶς
τετελεσμένων ὑπὲρ νοῦν·
f. 75v σαρκοφόρον Θεὸν γὰρ || τίκτεις,
ὃν πλήθη μαρτύρων
τοῖς οἰκείοις ἐδόξασαν μέλεσιν,
τὴν τοῦ παλαμναίου
ἰσχὺν καταβαλόντα.

ᾠδὴ θ΄. *Ὅτι ἐποίησέ μοι*

Ἰδεῖν κατηξιώθης
τὴν τερπνότητα τοῦ Θεοῦ
πρὸς τοῦτον στεφηφόρος ἀνελθών,
ἀθλητῶν ἡ καλλονή,
καὶ σὺν ἀγγέλοις λειτουργοῖς
αὐτῷ παρίστασαι νῦν.

237 κενοπρεπῶς Lo Pv Lu 239 τετελεσμένον Lo 242 ἐδόξασε Lo Pv Lu 243 παλωμναίου Lu
heirm. θ΄ EE 106, n. 149, Andreae

Ὡραῖος ἀπεφάνθης
ταῖς τῶν ἄθλων σου καλλοναῖς
ἀγγέλοις ἀληθῶς ὁμοιωθείς,
ἀναβλύζεις δὲ ἡμῖν
τῶν ἰαμάτων ποταμούς,
Μένιγνε μάρτυς Χριστοῦ.

Συνῆλθες τοῖς λαβοῦσι
σοῦ τὸ σῶμα, μάρτυς, νυκτός,
μηνύων τὴν ἀπόληψιν τῆς σῆς
παναγίας κεφαλῆς,
δι' ἧς τὴν πάντων κεφαλὴν
Χριστὸν ἐκήρυξας.

Ἡ μνήμη σου, παμμάκαρ,
ὥσπερ ἥλιος ἐπὶ γῆς
ἀνέτειλε φωτίζουσα ἡμᾶς,
ἣν τελοῦντας εὐσεβῶς
πρέσβευε σῴζεσθαι ἡμᾶς
ἀπὸ παντὸς πειρασμοῦ.

θεοτ. Φιλάγαθε παρθένε,
κακωθεῖσάν μου τὴν ψυχὴν
f. 76 πολλαῖς ἐ||πιβουλαῖς τοῦ πονηροῦ,
ἀγαθύνασα τυχεῖν
τῶν αἰωνίων ἀγαθῶν
Χριστὸν ἱκέτευε.

259 ἀπόλιψιν Lo 271 πονηροῦ] δυσμενοῦς Lo

16 MART. *CANON* XXII

IN SANCTUM SABINUM

Synaxarium, 532: .....Οὗτος ὑπῆρχεν ἐκ τῆς χώρας Αἰγύπτου· διὰ δὲ τὴν ἐπικειμένην ἀνάγκην τοῦ διωγμοῦ καταλιπὼν οἰκίαν, συγγενεῖς, πλοῦτον καὶ πάντα κόσμον, ... κατεκρύπτετο ἐν οἰκήματι σμικροτάτῳ μετὰ ἄλλων χριστιανῶν. Πολλῶν δέ, κρατουμένων ἐζητεῖτο καὶ Σαβῖνος ὑπὸ τῶν εἰδωλολατρῶν..... Τότε προσελθὼν εἷς πτωχός, ὁ πρὸς αὐτὸν ἀπερχόμενος καὶ λαμβάνων τροφήν, εἶπε πρὸς αὐτούς· « Τί μοι δίδοτε καὶ ἐγὼ ὑμῖν ὑποδείξω Σαβῖνον; » Οἱ δὲ ἔδωκαν νομίσματα δύο. Καὶ ἀκολουθήσαντες αὐτῷ καὶ ἐπιστάντες τῇ οἰκίᾳ ἐκράτησαν τὸν Σαβῖνον· καὶ δήσαντες ἤγαγον πρὸς τὸν ἄρχοντα. Καὶ εἶπεν πρὸς αὐτὸν ὁ ἄρχων· « Διὰ τί καταφρονεῖς τοῦ προστάγματος τῶν βασιλέων καὶ τῶν μεγίστων θεῶν καὶ ἕτερον θεὸν κηρύττεις ἀγνώριστον; » Ὁ δὲ εἰπὼν ὅτι· « Μᾶλλον ὃν ἐγὼ κηρύσσω Θεὸν ὀφείλεις καὶ σὺ γνωρίσαι καὶ πιστεῦσαι αὐτῷ », τιμωρηθεὶς ἐρρίφθη ἐν τῷ ποταμῷ καὶ ἐτελειώθη.

Paris. gr. 1563 = Pb, ff. 63-65
Vallic. gr. E 54 = Ea, ff. 119-121
Paris. gr. 1574 = Pu, ff. 39ᵛ-44
Vat. gr. 1508 = Vf, ff. 227ᵛ-230

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Ἀθλητικῶς Σαβῖνον αἰνέσω πόθῳ.
⟨Ποίημα⟩ Θεοφάνους

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ὑγρὰν διοδεύσας ὡσεὶ ξηρὰν*

Ἀφθάρτου καὶ θείας διαμονῆς
καὶ τῶν ἀνεφίκτων
ἀπολαύων νῦν ἀγαθῶν,
Σαβῖνε, σὺν μάρτυσι, θεόφρον,
τοὺς εὐφημοῦντάς σε περίσῳζε.

heirm. α' EE 220, n. 315, Joannis

Θυσίαν αἰνέσεως τῷ Χριστῷ
σαυτὸν σφαγιάζων,
πρὸ τῶν ἄθλων καρτερικῶς
ἐρήμοις ἐμάκρυνας, Σαβῖνε,
ἀσκητικοῖς γυμναζόμενος σκάμμασιν.

Λειμῶνι τρυφήσας πνευματικῷ,
παράδεισος ὤφθης
διαπνέων τὰς ἀρετάς,
τρυγώμενος ξίφει μαρτυρίου
καὶ πανδαισίᾳ Θεοῦ γνωριζόμενος.

θεοτ. Ἠλάθη θανάτου τὸ ἀμειδές·
ζωὴ ἐκ γαστρός σου
ἐνυπόστατος γὰρ θεὸς
f. 63ᵛ προῆλθεν ἀφρά||στως, θεοτόκε,
ἀνακαινίζων, παρθένε, τὴν φύσιν ἡμῶν.

ᾠδὴ γ'. *Σὺ εἶ τὸ στερέωμα*

Τέμενος λαξεύσας σου
τὴν καθαρὰν ψυχήν, δέδεξαι
ταύτῃ Θεόν,
καὶ ναοὺς δαιμόνων,
ὦ Σαβῖνε, κατέαξας.

Ἵλεων δι' ἔλεον
Θεὸν εὑράμενος, πάθους αὐτοῦ
μιμητὴς
γέγονας, προδότου
φοιτητοῦ χρηματίσαντος.

θεοτ. Κύριον γεννήσασα
πάσης τῆς κτίσεως, δέσποινα,

7 σφαγιάζων] ἁγιάζων Pb Pu Vf   15 θεῷ Ea   16 Ἰλ... Ea
heirm. γ' EE 224, n. 321, Joannis   23 ταύτην Vf   26 ...ν δι' ἔλεος Vf
30 χρηματίσας Vf

ὡς ἀληθῶς,
μόνη θεοτόκος
ὑπερτέρα γεγένησαι.

Κάθισμα.

Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ Λόγου*

Δεσμευθεὶς διὰ πόθον τοῦ λυτρωτοῦ,
αἰκισμοὺς πολυτρόπους καὶ σπαραγμοὺς
ὑπήνεγκας, ἅγιε,
ἐν ἀνδρείῳ φρονήματι,
ἐν ποταμῷ βληθεὶς δὲ
τὸ τέλος τὸ ἅγιον
ἐν αὐτῷ ἐδέξω
καὶ ὄλβος πολύτιμος
πᾶσιν ἀπεδόθης,
ἀναβλύζων ἰάσεις,
καὶ λύων νοσήματα
τῶν πιστῶς προστρεχόντων σοι,
Σαβῖνε μακάριε·
πρέσβευε Χριστῷ τῷ Θεῷ
τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι
τοῖς ἑορτάζουσι
πόθῳ τὴν ἁγίαν μνήμην σου.

f. 64 || ᾠδὴ δ'. *Εἰσακήκοα, κύριε,*

Ὡς ἀρνίον ἀγόμενος,
μάρτυς, εἰς θυσίαν ὅλως οὐκ ἤρισας
τὸν δεσπότην σου μιμούμενος,
δι' ὃν καὶ θανάτου κατεφρόνησας.

heirm. καθ. MR II, 19 14-17 cdd. varie abrumpunt orationem; κάθ. omnes cdd. tradunt: in Ea, autem κάθ. ante canonem invenimus; in Pb Pu Vf post. κάθ. legitur: θεοτ. Ὡς παρθένον καὶ μόνην ἐν γυναιξὶν . . . MR III, 304; σταυροθεοτ. Τὸν ἀμνὸν καὶ ποιμένα καὶ λυτρωτὴν . . . MR IV, 5
heirm. δ' EE 225, n. 322, Cosmae 36 ἀγόμενον Vf 37 ἤρισας] ἔρισας Pu ἠρνήσω Vf

Σωφροσύνῃ κοσμούμενος,
ταύτῃ τε συζῶν, ξεσμοῖς καὶ ἐν μάστιξιν
ἐρρωμένας φρένας φέρων σου
τοὺς ἐχθρούς, Σαβῖνε, ἐξεφαύλισας.

Σαρκικοῖς σου τοῖς μέλεσι,
μάρτυς, τὸν Χριστὸν δοξάσας, ἀπείληφας
τῶν δικαίων σὺν τοῖς πνεύμασιν
εὐφροσύνην θείαν καὶ ἀνώλεθρον.

θεοτ. * Ἀπολαύοντες, πάναγνε,
τῶν σῶν δωρημάτων, σοὶ χαριστήριον
ἀναμέλπομεν ἐφύμνιον
οἱ γινώσκοντές σε θεομήτορα.

ᾠδὴ ε'. *Φώτισον ἡμᾶς*
τοῖς προστάγμασί σου, ⟨*κύριε*⟩

Βάρος τοῖς ξεσμοῖς
τῆς σαρκός σου ἀποθέμενος,
ψυχὴν λαμπρύνας ἀνεπτέρωσας
Θεοῦ, Σαβῖνε,
πρὸς θείαν ὄντως ἀπόλαυσιν.

Ἵνα τῆς τρυφῆς
τὸν χειμάρρουν καὶ τὴν ἄφθαρτον
καλλονὴν εὕρῃς, ἀοίδιμε,
f. 64ᵛ ῥεόντων || κόσμου,
Σαβῖνε, σαφῶς κατέπτυσας.

θεοτ. Νέκρωσον, ἁγνή,
τῶν παθῶν μου τὰ σκιρτήματα

40 σωφροσύνην Vf 41 τε συζῶν] συζῶντες Ea καὶ σ[illegible]ων Vf 42 φέρων σου om. Vf 48-51 θεοτ. MR II, 146 49 χαριστή[illegible] MR σοὶ χαριστήριον] εὐχαριστήριον Vf 50 ἐφύμνια MR
heirm. ε' EE 224, n. 321, Joannis 54 τὴν ψυχὴν [illegible] 55 θεῷ Vf 56 ὄντως] οὕτως Ea 58-59 τὸν χειμάρρουν τῆς ἀφθάρτου / καλλονῆς εὕρῃς, ἀοίδιμε Vf

καταφθορᾶς ἐκλυτρουμένη με
καὶ ἀπαθείας
σωτηρίαν μοι παρέχουσα.

ᾠδὴ ς'. *Τὴν δέησιν ἐκχεῶ πρὸς κύριον*

Οὐδόλως τῶν ἐπικήρων φροντίσας,
ὥσπερ ξένῳ ἐν σαρκίῳ ὑπέστης
τοὺς αἰκισμούς,
τοὺς δεσμούς, τὰς στρεβλώσεις,
τὰς πυρπολήσεις καὶ τέλος μακάριον
ἀπείληφας παρὰ Χριστοῦ
τῶν στεφάνων τῆς δόξης, Σαβῖνε, τυχών.

Ναμάτων ὡς ἀληθῶς πεπλήρωται
ζωηρύτων ἡ Χριστοῦ ἐκκλησία
ἐκ τοῦ βυθοῦ
ποταμίων ὑδάτων
σὲ τὴν πηγὴν τῶν θαυμάτων πλουτήσασα,
εὑροῦσά τε τὸν ἑαυτῆς
μαργαρίτην, Σαβῖνε, πολύτιμον.

θεοτ. Ἀνώρθωσας τὴν πεσοῦσαν οὐσίαν
τῷ σῷ τόκῳ, θεοτόκε παρθένε,
τὸν πλαστουργὸν
καὶ δεσπότην τεκοῦσα
τὸν τὰς ἡμῶν ἀσθενείας βαστάσαντα
καὶ σώσαντα ἐκ τῆς φθορᾶς
τοῦ θανάτου ἡμᾶς ἐν τῷ πάθει αὐτοῦ.

ᾠδὴ ζ'. *Παῖδες Ἑβραίων ἐν καμίνῳ*

Ἵνα τῆς δόξης τῆς ἀγήρω
ἀπολαύσῃς, δόξαν ἔπτυσας τοῦ βίου

---

64 μοι Vf 66 παράσχουσα Pd
heirm. ς' EE 219, n. 314, Joannis 68 ξένοις Vf 70 δεσμοὺς] διωγμοὺς Vf 73 τῶν στεφάνων σαβῖνε τῆς δόξης τυχὼν Ea 74 v. in Vf deest.
heirm. ζ' EE 220, n. 315, Joannis 89 τοῦ om. Vf

ὑπὲρ δόξης Θεοῦ
τρυφῶν ἐν ταῖς βασάνοις,
Σαβῖνε, κράζων ἄπαυστα·
« ὁ Θεὸς εὐλογητὸς εἶ ».

Νεύσεσι θείαις τοῦ δεσπότου
ἀθετήσας τῶν ἀθέων βδελυρίαν
τῇ ἐνθέῳ σαφῶς
διήλεγξας σοφίᾳ,
Σαβῖνε, μέλπων ἄπαυστα·
« ὁ Θεὸς εὐλογητὸς εἶ ».

f. 65 θεοτ. ‖ Ἔσωσε κόσμον, θεοτόκε,
ἐκ γαστρός σου σαρκωθεὶς ὁ θεῖος Λόγος,
ὅνπερ σέβοντες
ὑμνοῦμέν σε βοῶντες·
« εὐλογημένος, πάναγνε,
ὁ καρπὸς τῆς κοιλίας σου ».

ᾠδὴ η'. *Μουσικῶν ὀργάνων συμφωνούντων*
καὶ λαῶν ἀπείρων προσκυνούντων
εἰκόνι τῇ ἐν Δεηρᾷ,
τρεῖς παῖδες μὴ πεισθέντες
τὸν κύριον ἀνύμνουν
καὶ ἐδοξολόγουν εἰς πάντας τοὺς αἰῶνας.

Στρεβλωθεὶς τυράννων ἀπηνείαις
καὶ Χριστοῦ ἀγάπῃ διαπρέπων,
τὴν ἄληκτον εὗρες ἐκεῖ
ἀπάθειαν, Σαβῖνε,
μέλπων ᾠδὴν κυρίῳ·
« σὲ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας ».

---

91 τοῖς Pb Pu Vf 95 βδελυρὰν Vf 96 σαφῶς] [illegible] Ea 97 σοφίαν Pu 103 ἀνυμνοῦμέν σε βοῶντες Ea 105 τῆς κοιλίας σου] τῆς σῆς κοιλίας Ea Pu
heirm. η' EE 220, n. 315, Joannis 110 ᾠδὴν μέλπων κυρίω Ea

'Ωραιώθης, μάρτυς, τῇ ἀσκήσει,
ἐφαιδρύνθης ἄθλοις διαπρέπων
καὶ ἔλαμψας ὥσπερ ἀστὴρ
τοῖς κράζουσιν· « ὑμνεῖτε
τὰ ἔργα τὸν κύριον
καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας ».

θεοτ. Παρθενίας ἔλαμψας ἀκτῖσι·
νοητοῦ ἡλίου γὰρ νεφέλη
ἐγένου, μῆτερ τοῦ Θεοῦ,
τοῦ σβέσαντος εἰδώλων
τὴν κάμινον μανίας,
ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ'. *Κυρίως θεοτόκον*

'Ορμίσας σου τὴν σχέσιν
τῷ Θεῷ τῶν ὅλων,
τῶν ποταμίων κυμάτων κατέπτυσας
εἰς ἀφθαρσίας λιμένα ὡς ἐγκολπούμενος.

Θεμέλιον τὴν πίστιν
ἔχων τοῦ σωτῆρος
τὰς προσβολὰς τῶν ἀθέων οὐκ ἔπτηξας,
ἀλλ' ἐκ βυθοῦ πρὸς γαλήνην ζωῆς ἐφώρμησας.

θεοτ. 'Ως τεῖχός σε καὶ σκέπην
καὶ ὡς προστασίαν
μόνην, ἁγνή, σωτηρίαν σε ἔχοντες,
ἐκ συμφορῶν καὶ πταισμάτων ἀεὶ λυτρούμεθα.

115-116 κραυγάζων ἀνυμνεῖτε / τὸν κύριον ἀπαύστως Ea 116 τὸν κύριον τὰ ἔργα Pu 121 σβέσαντος] παύσαντος Ea 122 τὴν πλάνην καὶ μανίαν Ea heirm. θ' EE 224, n. 321, Joannis 124 σου om. Vf 126 κυμάτων] ὑδάτων Ea 134 ἁγνή] εὐμενῆ Vf σε] οἱ Ea 135 ἐκλυτρούμεθα Vf

IN SANCTUM THOMAM

Synaxarium, 547: Μνήμη τοῦ ἐν ἁγίοις Θωμᾶ πατ[illegible]χου Κωνσταντινουπόλεως. Οὗτος διὰ τὴν ὑπερβάλλουσαν αὐτοῦ ἀρετ[illegible] καὶ τὴν ἄκραν σύνεσιν καὶ εὐλάβειαν, διάκονος προχειρίζεται τῆς μεγά[illegible] ἐκκλησίας καὶ σακελλάριος ὑπὸ τοῦ ὁσίου πατρὸς ἡμῶν..... 'Ιωά[illegible].....ἐπὶ τῆς βασιλείας .....Μαυρικίου. Καὶ μετὰ τελευτὴν αὐτοῦ τε [illegible]ωάννου καὶ τοῦ μετ' αὐτὸν ἀρχιερατεύσαντος Κυριακοῦ προχειρίζεται [illegible]ριάρχης Κωνσταντινουπόλεως. Ἔτη δὲ τρία καὶ μῆνας δύο τὸν θρόνο[illegible]ύτης διιθύνας καὶ πολλὰ κατὰ τῶν αἱρέσεων ἀγωνισάμενος καὶ τὰ ὀ[illegible]δοξα κρατύνας καὶ τὸ ποίμνιον καλῶς καὶ θεαρέστως ποιμάνας ἐν εἰρ[illegible] ἐκοιμήθη.

Crypt. Δ.α. XVII = Ck, ff. 53v-56v

'Ο κανών.
Ἦχος βαρύς.

ᾠδὴ α'. *Τῷ συνεργήσαντι Θεῷ*
Μωυσῇ ἐν Αἰγύπτῳ

'Ως στήλην ἔμψυχον σαφῶς
ἀρετῶν δεδεγμένον
τὸν ἱεράρχην Χριστοῦ
ἀξίως ἐν ᾄσμασιν
θεοπνεύστοις ὑμνήσωμεν.

Τῷ ἀναδείξαντι ἡμῖν
τοῦ σοφοῦ ἱεράρχου
τὸ μνημόσυνον,

tit. Μηνὶ Μαρτίῳ ις' τοῦ ἁγίου μάρτυρος πάπα καὶ τοῦ ὁσίου [illegible]μᾶ ἀρχιεπισκόπου κωνσταντινουπόλεως cd. duos canones alternatis odis [illegible]; prior canon s. Papae, inc. 'Υμνῳδίαις θείαις τὴν ἱεράν σου AA.SS. Mart. [illegible], 740, sequitur ἕτερος κανών ⟨τοῦ ὁσίου Θωμᾶ⟩ quem proferimus 6 Τὸν [illegible]δείξαντα cd. heirm. α' EE 202, n. 287, Germani

Χριστῷ μόνῳ ᾄσωμεν,
ἐνδόξως γὰρ δεδόξασται.

θεοτ. * Ἡ διὰ λόγου ἐν γαστρὶ
ὑπὲρ λόγον τεκοῦσα
τὸν ἀρχηγὸν τῆς ζωῆς
ἀπαύστως ἱκέτευε
σωθῆναι τὰς ψυχὰς ἡμῶν.

f. 54 ᾠδὴ γ'. *Ἐστερεώθη*
ἡ καρδία μου ἐν κυρίῳ,
ὑψώθη κέρας μου ἐν Θεῷ μου,
ἐπλατύνθη
ἐπ' ἐχθρούς μου τὸ στόμα μου.

Ἐν προσευχαῖς τε
καὶ νηστείαις καὶ ψαλμῳδίαις
τὴν ζωήν σου διανύσας, παμμακάριστε,
εἰς τὴν ἄνω κατήντησας
ἀγαλλίασιν, ἔνδοξε.

Τῶν πενήτων
τὴν κατήφειαν διαλύων,
χηρῶν τε καὶ ὀρφανῶν προέστης, ὅσιε,
ἑκατέροις τὰ πρόσφορα
διανέμων, πατὴρ ἡμῶν.

θεοτ. * Ἐτέχθης
ἐκ παρθένου ἀνερμηνεύτως,
ἐφάνης ὡς ηὐδόκησας, σωτὴρ ἡμῶν,
καὶ τὸν κόσμον ἀνεκαίνισας
⟨— — ⏑́ — — ⏑́ — —⟩.

11-15 θεοτ. NS 28 (1933), 335 11 γαστρὶ] σαρκὶ NS
heirm. γ' EE 201, n. 285, Joannis, sed metro heirmi strophae minime aptantur 26-29 θεοτ. MR III, 85 30 v. desideratur

f. 54v ᾠδὴ δ'. *Εἰσακήκοα*
τὴν ἀκοήν σου καὶ ἐφοβήθην,
κατενόησα τὰ ἔργα σου
καὶ ἐξέστην, κύριε.

Ὑπεράνθρωπον
διαπρέψας τῇ ἐγκρατείᾳ
ἠξιώθης, παμμακάριστε,
τῶν χαρισμάτων τοῦ πνεύματος.

Βίον ἔνθεον
καὶ λόγον πάνσοφον κεκτημένος
ἀμφοτέρωθεν, μακάριε,
τὴν ἐκκλησίαν ἐκόσμησας.

Ὡς ἰσάγγελον
ἐπιδειξάμενος πολιτείαν
σὺν ἀγγέλοις ἀγαλλόμενος
τῇ Τριάδι παρίστασαι.

θεοτ. Ἀνυμνοῦμέν σε
τὴν μετὰ τόκον πάλιν παρθένον
καὶ δοξάζομέν σε, ἄχραντε,
ὅτι σῴζεις τὰς ψυχὰς ἡμῶν.

f. 55 ᾠδὴ ε'. *Ὀρθρίζει τὸ πνεῦμά μου πρὸς [illegible] ὁ Θεός,*
διότι φῶς καὶ τὰ σὰ προστάγμα[illegible]
ἐγένοντο ἰάματα
τοῖς δούλοις σου, φιλάνθρωπε.

Εὐφράνθη ἡ γῆ τοῖς κατορθώμασί σου·
διό σου, πάτερ, τὴν ἐτήσιον μνήμην
πιστῶς πανηγυρίζουσα
δοξάζει τὸν δοξάσαντά σε.

heirm. δ' EE 203, n. 287, Germani
heirm. ε' EE 203, n. 287, Germani (2 καὶ τὰ om. EE)

Σωφρόνως καὶ πάσῃ καθαρότητι
βιώσας, πάτερ, ἀνεδείχθης ἐπὶ γῆς
ὡς ἄσαρκος, μακάριε,
καὶ ζῶν ἐν θνητῷ σώματι.

θεοτ. Παρθένε, μὴ παύσῃ ἱκετεύουσα
Θεὸν τὸν ἐκ σοῦ γεννηθέντα ἐν σαρκὶ
λυτρώσασθαι τοὺς δούλους σου
ἐκ πάσης περιστάσεως.

ᾠδὴ ς'. *Ὁ Ἰωνᾶς / ἐκ κοιλίας Ἅιδου ἐβόα· / ἀνάγαγε*

Ἰσάγγελον
ἀληθῶς πολιτείαν,
πατὴρ ἡμῶν,
ἐπὶ γῆς ἐπεδείξω·
διὸ καὶ μετ' ἀγγέλων
χορεύεις ἐν οὐρανοῖς
πρὸ προσώπου τοῦ Θεοῦ.

Ἐλάλησεν
ἀληθῶς, ἱεράρχα,
τὸ στόμα σου
δόγματα εὐσεβείας·
ἡ μελέτη γὰρ ὄντως
τῆς καρδίας σου, σοφέ,
ἐν μελέτῃ Θεοῦ.

θεοτ. * Ὃν ἔτεκες,
θεοτόκε, ἀνερμηνεύτως
Θεὸν ἡμῶν
f. 55v δυσωποῦ||σα μὴ παύσῃ
ῥυσθῆναι ἐκ κινδύνων
τοὺς ὑμνοῦντάς σε, ἁγνή,
ἀειπάρθενε.

heirm. ς' EE 201, n. 284, Joannis   73-79 θεοτ. PaR, 545

ᾠδὴ ζ'. *Ὁ τῶν πατέρων καὶ ἡμῶν Θε[…]
εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας.*

Τῆς ἐκκλησίας στῦλος ἀσφαλὴς
ἐδείχθης, πάτερ, ἐνθέοις λόγοις.

Οἱ φωτισθέντες τοῖς δόγμασί σου
σὲ καταχρέως ὑμνοῦσι, πάτερ.

Τῇ ἐγκρατείᾳ, πάτερ, ἐντρυφῶν
ποιμὴν ἐδείχθης τῇ ἐκκλησίᾳ.

θεοτ. * Παρθένε, μήτηρ Θεοῦ τοῦ Λόγου,
αὐτὸν δυσώπει ὑπὲρ τοῦ κόσμου.

f. 56 ᾠδὴ η'. *Τοὺς ἐν καμίνῳ παῖδας μιμούμ[…],
οἱ τοῦ πνεύματος τὴν δρόσον δε[…]ενοι*

Ὡς ἐντρυφῶν τοῖς λόγοις τοῦ πνεύματος
καὶ ἐκτρέφων πάντας τοῖς δόγμασιν
ἐβόας, μακάριε·
« εὐλογεῖτε τὰ ἔργα κυρίου τὸν κύριον ».

Ποιμαντικῇ τοῦ λόγου σου σάλπιγγι
τοῦ Χριστοῦ τὴν ποίμνην διέθρεψας
κραυγάζων, θεσπέσιε·
« εὐλογεῖτε τὰ ἔργα κυρίου τὸν κύριον ».

Πρὸς τὰς ἀρχὰς καὶ τοὺς κοσμοκράτορας
ἀντικαταστάς, πάτερ ὅσιε,
καὶ νικήσας ἔψαλλες·
« εὐλογεῖτε τὰ ἔργα κυρίου τὸν κύριον ».

heirm. ζ', et η', θ' EE 203, n. 287, Germani   86-8[…] θεοτ. AHG I,
XXXIV, 105-106.

θεοτ. * Τὸν πρὸ αἰώνων Λόγον ἀμήτορα
ἐν σαρκὶ τεχθέντα ἀπάτορα
ὑμνήσωμεν, λέγοντες·
« εὐλογεῖτε τὰ ἔργα κυρίου τὸν κύριον ».

f. 56v ᾠδὴ θ'. *Τὴν ὑπὲρ φύσιν μητέρα*
καὶ κατὰ φύσιν παρθένον,
τὴν μόνην ἐν γυναιξὶν

Τοῦ προστάτου ποιμένος
καὶ τῶν πενήτων προστάτου
ἐπιτελοῦντες πιστῶς
τὴν θείαν μνήμην,
δοξάσωμεν Χριστόν,
τὸν δοξάσαντα τὴν μνήμην αὐτοῦ.

Οἱ τῶν δογμάτων σου λόγοι
τῇ ἐκκλησίᾳ, θεόφρον,
ἡδύνθησαν ἀληθῶς
ὑπὲρ κηρίον
καὶ μέλι, πνευματικὴν
ἀποστάζοντες γλυκύτητα.

Τοὺς ἐκτελοῦντας ἐν πίστει
τὴν παναγίαν σου μνήμην
ἱκέτευε ἐκτενῶς,
Χριστοῦ θεράπον,
ἐκ πάσης τῆς τοῦ ἐχθροῦ
λυτρωθῆναι περιστάσεως.

100-103 θεοτ. AHG I, XXXIV, 119-122 99, 103 cd. varie recidit orationem ᾠδὴ θ' εἱρμὸς ἄλλος et in margine Ἦχος βαρὺς repetit cd.

θεοτ. * Τὴν ἐν γαστρὶ συλλαβοῦσαν
τὸν ἀπερίληπτον Λόγον
καὶ τοῦτον ἄνευ σπορᾶς
σαρκὶ τεκοῦσαν,
τὴν ἄχραντον οἱ πιστοὶ
θεοτόκον μεγαλύνομεν.

122-127 θεοτ. TR, 438 122 Ἠ... συλλαβοῦσα TR 126-127 ἱκέτευε ἐκτενῶς / τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν TR 125 τεκοῦσα [illegible]. TR

IN SANCTUM GERASIMUM

Synaxarium, 507: .....Τὸ μέγα κλέος τῶν ἀσκητῶν ὁ Γεράσιμος ἔννοιαν θείαν ἐκ βρέφους ἀνειληφώς..... καὶ τὸ τῶν μοναχῶν ἱερὸν σχῆμα περιβαλλόμενος τὴν ἐνδοτέραν ἔρημον τῆς Θηβαΐδος κατέλαβε καὶ τῆς ἄνω πόλεως πολίτης γενόμενος, ... οὐ γὰρ ἠβούλετο κτᾶσθαι τὸν παρ' ἀνθρώπων ἔπαινον ἀλλὰ τὸν παρὰ Θεοῦ μόνον. Ὅμως ὁ σοφὸς τὰ θεῖα Σωφρόνιος, ποιμὴν τῶν Ἱεροσολύμων..... τὴν πολιτείαν τούτου μετρίαν ὑπέγραψε..... ὅς φησίν, τὸν προρρηθέντα ἰσάγγελον ἄνδρα γενέσθαι μὲν κατὰ τὴν ἔρημον, τοσοῦτον δὲ θέσθαι τὸν ἀγῶνα τῆς ἀρετῆς καὶ τὴν πρὸς θεὸν οἰκείωσιν κτήσασθαι καὶ τὸ κατ' εἰκόνα τε καὶ καθ' ὁμοίωσιν ἀνακαθᾶραί τε καὶ φυλάξαι, ὡς καὶ τῶν ἀγρίων θηρίων κατάρχειν. Λέων γὰρ αὐτῷ διακονούμενος ὤφθη, ἄλλως τε τὰς ἐνδεχομένας διακονίας διατελῶν καὶ δὴ καὶ τὸν ὑδροφόρον ὄνον ἐπὶ νομὰς ἐξάγων τε καὶ εἰσάγων..... Τελευτήσαντος δὲ τοῦ γέροντος ὁ λέων κατελθὼν ἐζήτει προσκυνῆσαι συνήθως τὸν γέροντα..... Ὡς δὲ μάθοι παρὰ..... μοναχοῦ τὴν τοῦ γέροντος τελευτὴν..... πρὸς τὸν τάφον ἀπήχθη, ἔνθα τὸ τίμιον τοῦ γέροντος κατέκειτο λείψανον, εὐθὺς πεσὼν καὶ μέγα βρυχησάμενος ἀφῆκε τὴν πνοήν.....

Crypt. Δ.α. XXII	= Dc,	ff. 53v-55v
Paris. gr. 13	= Q,	ff. 269-269v
Paris. gr. 1575	= Pv,	ff. 18v-19
Vallic. gr. E 54	= Ea,	ff. 128-129
Reg. gr. 61	= Lo,	ff. 13v-15
Paris. gr. 1563	= Pb,	ff. 16-18v
Mess. gr. 163	= Mg,	ff. 91-94
Sab. Ieros. 241	= Sk	

Ὁ κανών,* οὗ ἡ ἀκροστιχίς·
Γερασίμῳ τὸν αἶνον ὡς στέφος πλέκω. Ἰωσήφ.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ἄισωμεν τῷ κυρίῳ*

Γέρας ἀθανασίας
καὶ τῆς ἀφθαρσίας θεῖον στέφανον

tit. Εἰς τὸν ὄρθρον ὁ κανών, οὗ ἡ ἀκροστιχίς... Q * canonem ed. K. M. Κοικυλίδης in: *Αἱ παρὰ τὸν Ἰορδάνην λαῦραι Καλαμῶνος καὶ ἁγίου Γερασίμου*, Hierosolymae 1902. ed. ex quo ipse textum sumpsi, litteris Sk indicatur
heirm. α' EE 224, n. 321, Joannis 2 τὸν θεῖον Sk

καλῶς ἠγωνισμένῳ
ὁ Χριστός σοι παρέσχε, Γεράσιμε.

Ἔχων τὸν φωτοδότην
τῶν σῶν ὑπακούοντα δεήσεων,
τῶν δαιμόνων τὸ σκότος
ἀπεμείωσας, πάτερ Γεράσιμε.

Ῥείθροις τῶν σῶν δακρύων,
ὥσπερ δένδρον, πάτερ, ἀρδευόμενος,
καρποὺς ἀθανασίας
προηγάγου, θεόφρον Γεράσιμε.

θεοτ. * Ἄχραντε θεοτόκε,
ἡ σεσαρκωμένη τὸν ἀΐδιον
f. 54 καὶ ὑπέρ‖θεον Λόγον
ὑπὲρ λόγον τεκοῦσα, ὑμνοῦμέν σε.

ᾠδὴ γ'. *Σὺ εἶ τὸ στερέωμα*

Σταύρωσιν ἑκούσιον
τῷ ὑπομείναντι, ὅσιε,
ἀκολουθῶν,
ὅλως ἐσταυρώθης
τῷ βίῳ καὶ τοῖς πάθεσιν.

Ἴσχυσας σθενούμενος
παντουργικῷ, σοφέ, πνεύματι
τοῦ ἰσχυροῦ
πάσας τὰς παγίδας
συμπατῆσαι, Γεράσιμε.

3 ἠγωνισμένος Dc 6 ἐπακούοντα Pb 9-12 trop. om. [illegible] 10 ἀρδευόμενος] πιαινόμενος Pb προσηγάγω Pv Ea Lo Mg Sk [illegible] 16 θεοτ. MR I, 181 15 Λόγον] φύσιν, MR omnes cdd., praeter D[illegible] θεοτ. obferunt Ἄχραντε Θεοτόκε / παῦσον τὰς ὠδίνας τῆς καρδίας μου ... qu[illegible] in PID, ρος' invenies.
heirm. γ' EE 224, n. 321, Joannis 22 ἴσχυνας Ea 23 πνεύματι] νεύματι Ea Lo Pb Sk 24 ἰσχυροῦ] ἐχθροῦ Sk 26 παντελῶς [illegible]εκρούσασθαι Q συμπατήσας Lo Sk

Μέτριον τὸ φρόνημα
ἐν ταπεινῷ, σοφέ, πνεύματι
σὺ ἐσχηκώς,
πάθη ψυχοφθόρα
παντελῶς ἐταπείνωσας.

Ὥσπερ μέγας ἥλιος
ταῖς τῶν θαυμάτων σου λάμψεσιν
φωταυγεῖς
πάντων τὰς καρδίας
τῶν πιστῶς εὐφημούντων σε.

θεοτ. Τέτοκας, πανάμωμε,
τὸν τῷ πατρὶ υἱὸν σύνθρονον
καὶ συμφυῆ,
πᾶσι τὰς εἰσόδους
τῆς ζωῆς ὑποδείξαντα.

ᾠδὴ δ'. *Εἰσακήκοα, κύριε,*
τῆς οἰκονομίας σου τὸ μυστήριον

Οἶκος γέγονε πνεύματος
ἡ πεφωτισμένη, πάτερ, καρδία σου,
ὅθεν βρύεις τὰ χαρίσματα
θεραπεύων νόσους θείᾳ χάριτι.

Νόμῳ θείῳ πειθόμενος,
πάτερ, ἐκ νεότητος ἠκολούθησας
τῷ κυρίῳ, ἀσπασάμενος
ἀσωμάτων βίον μετὰ σώματος.

---

28 καὶ ταπεινὸν Pb καὶ ταπεινῷ Mg πνεύματι] νεύματι Pv 34 φωταγωγεῖς Q Mg Sk φωταγωγῆς Lo 37-41 θεοτ. om. Dc - post odem γ' Pb refert: κάθ. cuius initium sonat Τῶν δαιμόνων, ὅσιε, τὰς πανουργίας (idem κάθ. Q post odem γ', Dc Mg ante canonem ponunt.); θεοτ. Τὰς ἀχράντους χεῖράς σου... MR V, 289; σταυροθεοτ. Ἐπὶ ξύλου βλέπουσα... MR III, 343 Pb post odem γ' exhibet: Κάθισμα. ἦχος β'. *Ταῖς τῶν θαυμάτων* Τοῖς τῶν δακρύων σου ὄμβροις, Γεράσιμε, / τὴν τῶν παθῶν ἐναπέσβεσας κάμινον / καὶ χαίρων μετέβης, μακάριε, / πρὸς αἰωνίαν καὶ θείαν κατάπαυσιν / πρεσβεύων σωθῆναι τὰς ψυχὰς ἡμῶν. Idem κάθ. tantum in Barber. gr. 460 invenies. 39 συμφυεῖ Ea Lo Sk

heirm. δ' EE 225, n. 322, Cosmae 44 βρύει Q Pv Pb Mg Sk 45 θεραπεύει Sk 47 ἠκολούθησας] διετέλεσας Sk 48 ἀσπαζόμενος Sk

Αἱ πορεῖαί σου, ὅσιε,
πρὸς σωτηριώδεις τρίβους εὐθύνθησαν
ὁδηγίᾳ θείου πνεύματος
τοῦ ἐν σοὶ ὁσίως κατοικήσαντος.

θεοτ. Ἰησοῦν τὸν φιλάνθρωπον,
ὃν ἀνερμηνεύτως ἐκυοφόρησας,
ἐκδυσώπει, παναμώμητε,
τοῦ σωθῆναι πάντας τοὺς ὑμνοῦντάς σε.

f. 54v || ᾠδὴ ε'. *Ὀρθρίζοντες βοῶμέν σοι, κύρι[ε]*

Νοῒ κεκαθαρμένῳ δεχόμενος
τὰς ἐλλάμψεις
τοῦ ἁγίου πνεύματος,
φῶς μοναστῶν ἐχρηματίσας.

Ὁ βίος σου τῇ βίᾳ τῆς φύσεως
διαλάμπων,
ἄγγελον ἐπίγειον
μετὰ σαρκός σε ἀνέδειξεν.

Ναμάτων ζωηρρύτων τοῦ πνεύματος
πεπλησμένος,
ποταμοὺς ἀνέβλυσας,
πάτερ, θαυμάτων, Γεράσιμε.

θεοτ. Ὡς ὄμβρος ἐπὶ σὲ καταβέβηκεν,
θεοτόκε,
ὁ Λόγος σαρκούμενος
εἰς φωτισμὸν τῶν ψυχῶν ἡμῶν.

ᾠδὴ ς'. *Ἱλάσθητί μοι, σωτήρ,*

Σαρκός σου τὸ ἀσθενὲς
τῇ δυναστείᾳ ῥωννύμενος

---

50 ὅσιε om Sk heirm. ε' EE 226, n. 324, Germani 65 σε om. Sk 68 ἔβλυσας Sk 69 θαυμάτων] θεόφρον Sk Γεράσιμε] τοῦ π[νεύ]ματος Mg

heirm ς' EE 220, n. 315, Joannis 75 τῆς δυνα[στε]ίας Ea ῥωννύμενον Pb

τοῦ ἐκ παρθένου ἡμῖν
ἁγνῆς ἀναλάμψαντος,
πᾶσαν ἐταπείνωσας
δυναστείαν, πάτερ,
δυσμενῶν, καθάπερ ἄσαρκος.

Συντρίψας τῶν νοητῶν
λεόντων μύλας ἐν χάριτι
ὑπέταξας αἰσθητῶν
ὁρμήματα, ὅσιε·
ὅθεν καθυπείκει σοι
λέων ὡς ποιμένι,
εὐπειθῶς διακονούμενος.

Τὸν βίον ἀγγελικόν,
τὸ φρόνημα, πάτερ, μέτριον
κτησάμενος ἐν Χριστῷ,
πρᾶος ἐχρημάτισας
καὶ νῦν κατεσκήνωσας
ἐν γῇ τῶν πραέων,
χαρμονῆς θείας πληρούμενος.

θεοτ. Ἐσκήνωσεν ἐπὶ σοὶ
πατρός, ἁγνή, τὸ ἀπαύγασμα
καὶ γεννηθεὶς ἐν σαρκὶ
τὸν κόσμον ἐφώτισεν,
καὶ σκότους ἐρρύσατο
τῆς πολυθεΐας·
διὰ τοῦτο ἀνυμνοῦμέν σε.

77 ἁγνὴ ἀνατείλαντος ἡμῖν Ea 78 ἐταπείνωσε Pb 80 καθάπερ ἄσαρκος] ἀσάρκων ὅσιε omnes cdd. excepto Dc 83 αἰσθητῶν Dc Q Ea Pb Mg cum ἀθλητῶν ceteris cdd. 84 ὁρμημάτων Mg ὅσιε] ἔνδοξε Ea 86 ὡς] ὦ Ea 88 ἀγγελικός Lo 90 κτισάμενος Lo — Q post odem ϛ′ refert synaxarium s. Gerasimi et: τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων Παύλου καὶ Ἰουλιανῆς τῆς ἀδελφῆς αὐτοῦ (synax.). 99 σκότος Sk

f. 55 ‖ ᾠδὴ ζ′. *Παῖδες Ἑβραίων ἐν καμίνῳ*

Φῶς ἀνατέταλκέ σοι, πάτερ,
καὶ ἡ σύζυγος ἡ τούτου εὐφροσύνη,
οὐρανίαις σκηναῖς
ἀεὶ αὐλιζομένῳ
καὶ μελῳδοῦντι· « κύριε
ὁ Θεός, εὐλογητὸς εἶ ».

Ὄμβροις δακρύων ἀρδευθείς σου,
θεοφόρε, τὴν καρδίαν, ἐναρέτους
ἐκβλαστάνεις καρπούς,
δι᾽ ὧν τρυφὴν τὴν ἄνω
εἰς τοὺς αἰῶνας εἴληφας
μετὰ πάντων τῶν ὁσίων.

Στόματι φέρων ὑμνῳδίαν
ἐν μιμήματι ἀπαύστως τῶν ἀγγέλων,
ἐν ἀγρύπνῳ νοΐ,
Γεράσιμε, ἐβόας·
« εὐλογητὸς εἶ, κύριε,
ὁ Θεὸς εἰς τοὺς αἰῶνας ».

θεοτ. Πῦρ οὐδαμῶς σε, θεοτόκε,
τῆς θεότητος κατέφλεξε, παρθένε·
σὲ γὰρ βάτος ποτὲ
εἰκόνιζεν ἐν ὄρει
φλογιζομένην πάντοθεν,
μηδαμῶς δὲ καιομένην.

ᾠδὴ η′. *Οἱ θεορρήμονες παῖδες ἐν καμίνῳ*

Λελαμπρυσμένος παρέστης τῷ δεσπότῃ
ἀσκητικαῖς ἀγλαΐαις,

heirm. ζ′ EE 220, n. 315, Joannis 106 σοὶ κύριε Sk 109 ἐναρέτοις Lo 111 τὴν ἄνω] ἀνθρώπων Mg 108-113 trop. in Dc deest 115 μιμήμασι Mg ἀπαύστω Q 119 v. om Q 121 κατέφλεξας Mg 124-125 φλογιζομένην ... καιομένην Dc φλογιζομένη ... καιομένη ceteri cdd. πάντοθεν] πάναγνε Ea Lo Pb Mg Sk

heirm η′ EE 227, n. 325, Joannis

θαυματοφόρε Γεράσιμε,
καὶ ταῖς τῶν ἀσωμάτων
χορείαις ἠρίθμησαι.

Ἐν ἀκακίᾳ τὸν βίον διανύσας
τοῦ πονηροῦ τὴν κακίαν
ὁλοσχερῶς ἐταπείνωσας,
ἀσκητῶν ὡραιότης,
θεόφρον Γεράσιμε.

Καταστολὴν ἀφθαρσίας ἐνεδύσω
τῇ τῶν παθῶν ἀπεκδύσει,
πάτερ θεόφρον Γεράσιμε,
καὶ νυμφῶνος ἐνθέου
ἀξίως ἐπέτυχες.

θεοτ. Ὡς εὐωδέστατον ῥόδον εὑρηκώς σε
ἐν ταῖς κοιλάσι τοῦ βίου
ὁ ὑπερούσιος, πάναγνε,
διὰ σοῦ εὐωδίαν
τῷ κόσμῳ διέπνευσεν.

ᾠδὴ θ'. *Ἔφριξε*
πᾶσα ἀκοὴ
τὴν ἀπόρρητον θεοῦ συγκατάβασιν

f. 55v || Ἴχνεσιν
πάντων τῶν καλῶς
ἐπὶ γῆς διοδευσάντων ἑπόμενος,
ἀγάπην ἔσχηκας,
πίστιν, ἐλπίδα, μέτριον φρόνημα

132 κακίαν] καθέδραν omnes cdd. exceptis Dc Q 133 ἐταπείνωσας] ἀπεμείωσας omnes cdd. excepte Dc 135 Γερ. ἔνδοξε Sk 142 ἐν τῶ κυλάσι (sic) τοῦ βίου Ea

heirm. θ' EE 222, n. 317, Joannis

149-150 I Cor. 13,13

καὶ ἀδιάλειπτον εὐχήν,
ἐγκράτειαν ἄφατον,
πάτερ Γεράσιμε,
ἐντρυφῶν ταῖς καθαραῖς ἀναβάσεσιν.

Ὢ θαῦμα·
πῶς ὡς λογικὸς
καθυπείκει σοι ὁ θὴρ τῷ κελεύσματι
τῷ σῷ, Γεράσιμε,
σὺν προθυμίᾳ διακονούμενος,
Θεοῦ δοξάζοντος τὸν σὸν
βίον τὸν ἰσάγγελον
σημείοις, ὅσιε,
καὶ ἀπείροις τεραστίοις καὶ θαύμασιν.

Στήριγμα
ὤφθης μοναστῶν
καὶ σιγῶσα, θεοφόρε, παραίνεσις·
τὴν στενοτάτην γὰρ
τῆς ἐγκρατείας τρίβον διώδευσας,
θείαις ἐλπίσι τὴν ψυχὴν
ἀεὶ πλατυνόμενος·
ὅθεν εὐρύχωρον
ἐν σκηναῖς τῶν ἐκλεκτῶν εὗρες οἴκησιν.

Ἤνθησας,
πάτερ, ἐν αὐλαῖς
τοῦ Θεοῦ ἡμῶν ὡς φοῖνιξ ὑψίκομος,
καὶ ὡς κυπάρισσος
ἐμεγαλύνθης θείαις ὑψώσεσιν·
ὅθεν τὴν μνήμην σου πιστῶς
πάντες ἑορτάζομεν,
ἐν ᾗ, δεόμεθα,
πειρασμῶν ἡμᾶς παντοίων περίσῳζε.

151 ἀδιάληπτον Ea Dc Lo 156 λογικῶς Lo 164-172 trop. om. Mg 177 ὑψώσεσιν] ὑψώμασι Lo 179 ἑορτάζοντες [illegible] 181 διάσωζε Q Pb

θεοτ. Φέρουσα
τὸν Ἐμμανουὴλ
ἐν ἀγκάλαις σου, ἁγνή, ὥσπερ νήπιον,
θεοχαρίτωτε,
ἐβόας· τέκνον ἐμὸν γλυκύτατον,
πῶς ἐπιδώσω σοι μαζὸν
τρέφοντι τὰ σύμπαντα;
πῶς σπαργανώσω σε
τὸν ὁμίχλῃ σπαργανοῦντα τὴν θάλασσαν;

187 μαζῶν Lo 190 ὁμίχλην Lo

IN SANCTUM BERYLLUM

Synaxarium, 551: Τοῦ ὁσίου πατρὸς ἡμῶν Βη[illegible]λου ἐπισκόπου Κατάνης, μαθητοῦ γενομένου τοῦ ἁγίου ἀποστόλου Π[illegible]ου. Οὗτος ἐξ Ἀντιοχείας ἕλκων τὸ γένος, τῷ ἀποστόλῳ μαθητευθεὶς [illegible]ὶ ἐν τῇ δύσει γενόμενος, ἐπίσκοπος Κατάνης ὑπ' αὐτοῦ προχειρίζετα[illegible] Καλῶς δὲ καὶ θεοφιλῶς ποιμάνας τὸ ἑαυτοῦ ποίμνιον, πολλοὺς πρὸς [illegible]ν εἰς Χριστὸν ἐχειραγώγησε πίστιν· καὶ θαύματα παντοῖα κατειργάσ[illegible], ἐξ ὧν ἑνὸς ἀναγκαῖον ἐπιμνησθῆναι. Πηγὴ ἦν κατὰ τὸν τόπον ἐκε[illegible]ν, πικρότατον ἔχουσα ὕδωρ, οὗ τὴν πικρίαν προσευξάμενος τῷ Θεῷ με[illegible]βαλεν εἰς γλυκύτητα. Ὅπερ ἰδών τις Ἕλλην ἄκρος εἰδωλολάτρης ἐπίστ[illegible]σε τῷ Χριστῷ, καὶ σὺν ἐκείνῳ ἕτεροι πολλοί.

Ἐν τούτοις εἰς βαθὺ γῆρας ἐλάσας καὶ τὸν ἁγίοις [illegible]ρέποντα ὕπνον ἀναπαυσάμενος κατατίθεται ἐν τῇ αὐτῇ νήσῳ ἐντίμως, [illegible]ματα παρέχων τοῖς αὐτῷ μετὰ πίστεως προσιοῦσι μέχρι τῆς σήμερον.

Crypt. Δ.α. XVII	=	Ck, ff. 67v-71
Crypt. Δ.α. VII	=	Db, ff. 88-92
Crypt. Δ.α. XXII	=	Dc, ff. 55-58v
Vat. gr. 2008	=	Vm, ff. 56-58v
Barber. gr. 460	=	Bd, ff. 101-105
Vallic. E 54	=	Ea, ff. 130v-131v
Paris. gr. 341	=	Pq, pp. 129-135
Reg. gr. 61	=	Lo, ff. 15-17

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Βύριλλον ὑμνῶ τὸν πρόεδρον Κατάνης. Ἰ[illegible]ήφ.

Ἦχος α'.

ᾠδὴ α'. *Ὠιδὴν ἐπινίκιον*

Βαδίσας τὴν φέρουσαν
ὁδὸν εἰς θείας

tit. Μηνὶ Μαρτίῳ κα' τοῦ ἁγίου βυρίλλου, τοῦ ὁσίου ἰακώβου [illegible] τοῦ ὁσίου πατρὸς ἡμῶν βενεδίκτου Ck, f. 65v ὁ κανὼν τοῦ ἁγίου βυρίλλου, quem pr[illegible]imus, intexitur duobus aliis canonibus quorum tituli sic traduntur: ἕτερ[illegible] κανὼν τοῦ ὁσίου ἰακώβου (inc. Τὸν φωτισμὸν τὸν τῆς Τριάδος MR IV, 124); ἕτε[illegible] κανὼν τοῦ ὁσίου βενεδίκτου (inc. Ὑμνολογεῖν τὴν ἀξιέπαινον MR IV, 85). In [illegible] acrost. Βύριλλον ὑμνῶ τὸν καλόν μου προστάτην. Auctor forma Βύριλλος pro [illegible]λλος utitur

heirm. α' EE 11, n. 15, Andreae 2 εἰς] πρὸς omnes c[illegible] exceptis Ck Db

ἐπαύλεις, θεόληπτε,
τὰς τῆς διανοίας μου
κινήσεις, Βύριλλε,
κατεύθυνον πρὸς πλατυσμὸν
τῶν σῶν ἐπαίνων, ὅσιε.

Ὑπέθηκας, Βύριλλε,
τὰ θεῖα ὦτα
τοῦ Πέτρου τοῖς ῥήμασιν
καὶ φωστὴρ γεγένησαι,
φωταγωγῶν τοὺς πιστοὺς
φέγγει ἐνθέων διδαχῶν
καὶ ἰαμάτων πολλῶν.

Ῥημάτων ὁ φθόγγος σου
καὶ τῶν θαυμάτων
f. 68 || ἡ θεία ἐπίδειξις
πρὸς Θεοῦ ἐπίγνωσιν
λαοὺς ὡδήγησεν,
ἱερομύστα καὶ ποιμήν,
θεόφρον Βύριλλε.

θεοτ. Ἰσχύς μου καὶ ὕμνησις
καὶ σωτηρία
Χριστός ἐστιν, πάναγνε,
ὁ ἐκ σοῦ ὡς ἄνθρωπος
δι' εὐσπλαγχνίαν πολλὴν
δίχα φθορᾶς καὶ γεννηθεὶς
καὶ γεγονώς, ὃ οὐκ ἦν.

ᾠδὴ β'. *Ἴδετε, ἴδετε / ὅτι ἐγώ εἰμι / ὁ δουλωθέντα*

Λύμης συνέδριον
καταβαλὼν τοῖς λόγοις σου,

6 κατεύθυνον] κατεύνασον Dc πρὸς πλατυσμὸν] προσδέομαι in Db posterior manus scripsit 7 ὅσιε] σοφέ Db Ea Pq 9 τοῖς σοῖς ὠτίσι in Vm posterior manus scripsit τὴν ἀκοήν σου Dc 10 τὰ ῥήματα Vm 27 φθορᾶς] σπορᾶς Vm καὶ om. Lo — odem β' om. Dc Lo
heirm. β' EE 13, n. 17, Andreae 29 λοίμης Db Vm λύμην Pq λύμη Bd 30 τοὺς λόγους Ea

λαοὺς συνήθροισας ὑμνεῖν
ἐν συμφωνίᾳ μυστικῇ ἕνα Θεόν,
μυριάσιν ἀγγέλων
ἀνυμνούμενον ἀεί,
μέγιστε Βύριλλε.

Λάμψαν θεώμενος
φῶς ἐπὶ γῆς τὸ ἄχρονον,
ἥλιον μέγιστον εὑρὼν
τὸν κορυφαῖον τῶν τοῦ Λόγου μαθητῶν,
παρ' αὐτοῦ ἐφωτίσθης,
μυηθεὶς τὰ ὑπὲρ νοῦν,
πάνσοφε Βύριλλε.

Οἶκος γενόμενος
τοῦ παναγίου πνεύματος,
οἴκους ἀνήγειρας σεπτούς,
καταστρεψάμενος ναοὺς εἰδωλικοὺς
εἰς τιμὴν τῆς Τριάδος,
εἰς ἀνθρώπων καινισμόν,
ἔνδοξε Βύριλλε.

θεοτ. Νόμους τῆς φύσεως,
μόνη ἁγνή, ἐκαίνισας,
τὸν φυτουργὸν τῶν ἀγαθῶν
f. 68v καὶ || καινουργὸν τῆς σαθρωθείσης τῶν βροτῶν
θεοτόκε, οὐσίας
ὑπὲρ λόγον ἐπὶ γῆς
κυοφορήσασα.

ᾠδὴ γ'. *Στερεωθήτω ἡ καρδία μου*

Υἱοὺς Θεοῦ, σοφέ, ἀνέδειξας
τῆς ὀργῆς τὰ τέκνα δι' ὕδατος,

34 ἀνυμνουμένων Ck Ea 35 μέγιστε] ἔνδοξε Bd 36 λάμψας Pq 37 ἄχρονον] ἄχραντον Ck 48 κενισμὸν Ea 51 ἐκαίνη[illegible] Ck 52 τὸν ἀγαθὸν Ea 56 ἐκυοφόρησας Bd
heirm. γ' EE 12, n. 16, Andreae

τὸν συναΐδιον πατρὶ
ἐν σοὶ ἔχων φθεγγόμενον
καὶ τὰ ἔργα τῶν ὁσίων σου
χειρῶν κατευθύνοντα.

Μέγιστον ὥσπερ ῥεῦμα, Βύριλλε,
ἐκ πηγῶν τοῦ Λόγου ἀρδόμενος
σὲ ἐπαφῆκεν ὁ κλεινὸς
Πέτρος ῥύζῳ τῶν λόγων σου
ὑπεξαίρων βορβορώδεις
ποταμοὺς ματαιότητος.

Νόμοις ἐνθέοις κατωχύρωσας
τοὺς σεσαθρωμένους, πανόλβιε,
f. 69 παρανο||μίαις πονηραῖς
ἁμαρτίας τῷ νόμῳ τε
τροπουμένους καὶ ναυάγιον
δεινὸν ὑπομένοντας.

θεοτ. Ὢ μυστηρίου βάθος ἄπειρον·
ὁ Θεὸς σαρκοῦται καὶ τίκτεται
κόρης ἀφθόρου καὶ φθορὰν
διαλύει τοῖς πάθεσιν,
οἷς ὑφίσταται ὁ μόνος
ἀγαθὸς καὶ φιλάνθρωπος.

Κάθισμα.

Ἦχος α'. *Χορὸς ἀγγελικὸς*

Ἀστράπτων τῷ φωτὶ
τῆς ἁγίας Τριάδος,

66 ρυζῶ Dc, ῥύζων Bd, ῥοίζω Ea 68 ματαιότητος om. Dc 69 καθοχύρωσας Ck Ea Lo In Db a v. 71 usque ad finem canonis textum traditur foliis cartaceis 72 ἁμαρτίαις Db 73 ναυάγιον] ἅγιον Db καὶ ναυάγιον om. Dc 77 κόρης ἀφθόρου om. Dc φθορᾶ Ea 80 ἀπαθῶν καὶ ἀπρόσιτος Ea, ἀπαθὴς καὶ ἀπρόσιτος Dc Bd Pq Lo

heirm. καθ. MR III, 481 (in Db Vm Pq heirm. aliis verbis profertur, eodem autem numero: Τὸν τάφον σου, σωτήρ, in PaR, 9); idem κάθ. Db post odem ϛ', Vm ante canonem praebent; κάθ. om. Ea Lo

ἐφώτισας λαούς,
ἱεράρχα θεόφρον,
καὶ σκότος διέλυσας
ἀγνωσίας ἐν χάριτι·
ὅθεν πίστει σου
τὴν φωτοφόρον τελοῦμεν
πάντες κοίμησιν,
εὐφροσύνῃ καρδίας
ὑμνοῦντές σε, Βύριλλε.

ᾠδὴ δ'. *Ἐν πνεύματι προβλέπων*

Τῷ φέγγει τῶν ἐνθέων
δογμάτων σου, σοφέ,
σκότος διεσκέδασας
δαιμόνων πονηρῶν
καὶ οἱ ἐν ζόφῳ
τῆς ἀγνωσίας ἀθλίως
κατασχεθέντες
τέκνα ὤφθησαν ἡμέρας,
Βύριλλε, Χριστὸν μεγαλύνοντες.

Ὁ νοῦς σου νεύσας ὅλος,
σοφέ, πρὸς τὸν Θεὸν
νεύματι τὸν φέροντα
τὸ πᾶν παντουργικῷ,
τοὺς νενευκότας
ἀθλίως πρὸς τὴν ἀπάτην
ἀνακαλεῖται,
μελῳδοῦντας, ἱεράρχα·
« δόξα τῇ δυνάμει σου, κύριε ».

5 καὶ σκότους διέσωσας Pq 10 ἐν εὐφροσύνη καρδίας [illegible] Pq

heirm. δ' EE 11, n. 15, Andreae 81 ἀνθέων Ck 83 διεσκέδασας] ὑπεχώρησεν Dc Lo διεσκέδασαι Db ὑπερόριον Bd ὑπερόρισας Ea ὑπερώρισας Pq 84 πονηρὸν Vm 89 μεγαλύνοντας Ea [illegible] ὅλως Db Dc Vm Bd Ea 93 πᾶν om. Ea 96 ἀνακαλεῖτε Ck 97 [illegible]λωδοῦντες Lo 98 νῦν θεουργικῶς τῶ θεῶ ἡμῶν Bd ceteri cdd. varie contra[illegible]ut orationem

Νοσήματα διώκεις
πολλὰ καὶ χαλεπὰ
τῶν προσπελαζόντων σου
λειψάνων τῇ σορῷ,
ἱερομύστα·
f. 69v || ἐκ τοῦ σωτῆρος γὰρ χάριν
πλουσιωτάτην
ἀναμέλπων ἐκομίσω·
« δόξα τῇ δυνάμει σου, κύριε ».

θεοτ. Πῶς τέτοκας τὸν Λόγον;
πῶς ἔμεινας ὡς πρὶν
μετὰ τόκον ἄφθορος,
πανάμωμε ἁγνή;
πῶς τὸν τροφέα
ἐξέθρεψας τῶν ἁπάντων,
βρέφος θελήσει
ὁραθέντα τὸν προόντα;
ξένον σου τὸ θαῦμα, πανάχραντε.

ᾠδὴ ε'. *Τὴν σὴν εἰρήνην δὸς ἡμῖν*

Ῥεόντων παρωσάμενος
τὸ ἄστατον, σοφέ,
ἔστερξας καλῶς τὰ πάντοτε μένοντα
καὶ πρὸς τὴν τούτων καθωδήγησας
κτῆσιν λαοὺς ἀπείρους,
θεόφρον ἱεράρχα.

Ὁλόφωτον ὡς ἄστρον σε
ἐκπέμπει πρὸς δυσμὰς
ἥλιος φαιδρὸς ὁ μέγας ἀπόστολος,
σκότος εἰδώλων ἀφανίζοντα
καὶ τοὺς πιστοὺς ἡμέρας
υἱοὺς ἀποτελοῦντα.

106 ἀναμένων ἐκομίζω Dc 108 πῶς] φῶς Lo 115 προόντα] προῶντα (sic) Ck Lo; verbum om. Db Pq
heirm. ε' EE 11, n. 15, Andreae 119 καλῶς] σοφέ Db 120 τοῦτον Db τούτου Dc Vm 123 σε om. Db 125 φαιδρῶς Bd

Ἐκβλύζει σου τὰ λείψανα
ἰάματα, σοφέ,
λάμπει σου ἀεὶ ἡ μνήμη ὡς ἥλιος,
ᾄδεται κόσμῳ τὰ τεράστια,
δοξάζει σε συμφώνως
Χριστοῦ ἡ ἐκκλησία.

θεοτ. * Διάσωσον, πανάμωμε,
κινδύνων χαλεπῶν,
ἔγειρον παθῶν κοπρίας καὶ ῥῦσαί με
αἰχμαλωσίας καὶ κακώσεως
τῶν πονηρῶν δαιμόνων
τὸν πόθῳ σε τιμῶντα.

f. 70 ᾠδὴ ς'. *Τὸν προφήτην Ἰωνᾶν*

Ῥῆμα ζῶν ἐπιφωνεῖς
ἐν ὀνείρῳ ὀπτανθεὶς
καὶ λυτροῦσαι ἐθνικῆς
ἐνοχῆς, ἱερουργέ,
τὸν δοῦλόν σου ὑμνολογοῦντα
τὴν προστασίαν σου.

Ὁμιλεῖς καθάπερ ζῶν
δι' εἰκόνος σου, σοφέ,
καὶ πληροῖς ὡς συμπαθὴς
ὑποσχέσεις, ἃς ποιεῖς
τῷ πίστει σε ἐξαιτουμένῳ,
Βύριλλε ἔνδοξε.

Νοσημάτων ἐλατὴρ
καὶ πνευμάτων πονηρῶν

132 ᾄδετε Lo 135-140 θεοτ. PID ιη' 135 πα[illegible]μωμε] πάναγνε Dc Ea Pq 140 τῶν πόθω σε τιμώντων Ea τῶν π[illegible] σε τιμούντων Lo τιμῶντα] ὑμνοῦντα Vm
heirm. ς' EE 12, n. 15, Andreae 141 ἐπιφωνῆς ([illegible]) Ck ἐπιφανεὶς Ea 142 ὀπταθεὶς Lo 144 ἐνοχῆς] ἐνοχλῆς Lo 146 τὴν [illegible]στασίαν σου] βύριλλε ἔνδοξε Vm Ea τὴν δυναστείαν σου Db 152 Βύριλλε [illegible]οξε] τὴν προστασίαν σου Db Vm Ea

πενομένων πλουτιστὴς
καὶ ποιμὴν πανευκλεὴς
γεγένησαι, ἱερομύστα,
μέγιστε Βύριλλε.

θεοτ. * Κυβερνήτης μοι γενοῦ
θαλαττεύοντι, ἁγνή,
ἐν πελάγει χαλεπῶν
τῶν τοῦ βίου πειρασμῶν
καὶ ἴθυνον πρὸς σωτηρίας
ὅρμον καὶ σῶσόν με.

f. 70v Κάθισμα.

Ἦχος δ′. *Ἐπεφάνης σήμερον*

Τῷ ἁγίῳ πνεύματι
πεφωτισμένος,
ἱεράρχα ἔνδοξε,
πολλῶν ἐφώτισας ψυχὰς
ἱερωτάτοις σου δόγμασι·
ὅθεν ἐν πίστει
τιμῶμέν σε, Βύριλλε.

ᾠδὴ ζ′. *Τοὺς ἐν καμίνῳ παῖδάς σου, σωτήρ,*

Ἀποσταλεὶς ὡς πρόβατον, σοφέ,
ὑπὸ Χριστοῦ
λύκων ἐν τῷ μέσῳ πονηρῶν,
τούτους ταῖς σαῖς
ἱερωτάταις νουθεσίαις

155 πλουτισθεὶς Ck (cfr. v. 173) 159-164 θεοτ. MR II, 335 159 μοι] μου Ck Pq 160 ἁγνή] ἀεὶ MR 161 χαλεπῶν] τῶν δεινῶν MR χαλεπῷ Dc Pq Lo χαλεπῶς Vm χαμερπῶν Bd
heirm. καθ. MR III, 150 idem κάθ. Dc Ea ante canonem praebent heirm. ζ′ EE 12, n. 15, Andreae (Τῶν ἐν καμίνῳ παίδων σου, σωτήρ, EE)

ἄρνας ἀπετέλεσας
τοῦ δι᾿ ἡμᾶς ὡς ἀμνοῦ
Λόγου τυθέντος σαρκί.

Ταῖς διδαχαῖς τοῦ Πέτρου πλουτισθείς,
ἱερουργὲ
πάτερ, ἀπεστάλης παρ᾿ αὐτοῦ
καὶ τοὺς δεινῶς
τῇ ἀπιστίᾳ πενομένους
θείαις κατεπλούτισας
διδασκαλίαις, Χριστὸν
ἐπεγνωκότας Θεόν.

Ἀπάρας ἐκ πόλεως Θεοῦ,
ὑπόπτερος
ὥσπερ ἀετὸς φθάνεις, σοφέ,
πόλιν τερπνὴν
τῶν Κατανέων καὶ τοὺς ταύτης
δυσσεβεῖς οἰκήτορας
ἀποτελεῖς εὐσεβεῖς
καὶ κληρονόμους Χριστοῦ.

θεοτ. * Νενεκρωμένον πάθεσι σαρκός,
πανάμωμε,
ζώωσον τὸν νοῦν μου καὶ Θεῷ
τὰ ἀρεστὰ
ἐπιτελεῖν ἐνίσχυσόν με,
ἵνα μεγαλύνω σε
ὡς προστασίαν θερμήν,
χριστιανῶν ἡ ἐλπίς.

170 ἐπετέλεσας Bd 171 ἀμνὸς Dc 177 ἀπιστεί[illegible] 180 ἐπεγνωκότες Vm Ea 181 ἐκ πόλεως θεοῦ] θεοῦ πόλεως σοφέ [illegible]d Ea θεουπόλεως σοφέ Dc Vm Pq Lo 183 σοφέ] σπουδῇ cd[illegible] [illegible]xceptis Ck Vm φθάνεις] φανεὶς Dc Ea Pq Lo 187 ἀποστελεῖς Lo 1[illegible] Χριστοῦ] θεοῦ Bd 189-196 θεοτ. MR II, 337 189 νενεκρωμένω Lo σαρ[illegible]] πολλοῖς Db Vm 191 θεοῦ Bd 195-196 ἵνα δοξάζω ἀεὶ / τὴν ἀγαθότητά σο[illegible] [illegible]R 195 θερμὴν] ἀεὶ Dc Ea Pq Lo

f. 71 ᾠδὴ η'. *Ὃν φρίττουσιν ἄγγελοι*

Ἡ ἄνω μητρόπολις
καλῶς ἐπὶ γῆς
σὲ πολιτευσάμενον
οἰκήτορα τερπνὸν
μετὰ τῶν ἁγίων
πάντων κέκτηται,
Βύριλλε παμμάκαρ,
φωστὴρ τῆς ἐκκλησίας.

Σαρκὸς ὁμοιώματι
ὀφθέντα καθ' ἡμᾶς
τὸν Λόγον ἐκήρυξας
Θεὸν ἀληθινὸν
καὶ τοὺς ὑπαχθέντας
ταῖς ἀλόγοις ὁρμαῖς
τῶν παθῶν εἰργάσω
πολίτας οὐρανίους.

Οἰκήσας δωμάτιον
στενότατον, σοφέ,
ἐν τούτῳ ἐβάπτισας
ἀμέτρητον πληθύν,
πλατύνας τὴν ποίμνην
καὶ ἐξάρας αὐτὴν
τῆς στενοχωρίας
τῆς εἰδωλολατρείας.

θεοτ. * Ἴασω τὸ σύντριμμα
Ἀδὰμ τοῦ χοϊκοῦ,
σωτῆρα κυήσασα
πανάχραντε, Θεόν,
αὐτὸν ἐκδυσώπει

heirm. η' EE 12, n. 15, Andreae 202 κέκτιται Lo 210 ἀλόγοις] ἀλήγοις Db 213 οἰκήσας] νικήσας Lo 215 ἐβάπτισας] ἐβάδισας Pq 217 ποίμνην [σου] Dc Ea Pq 219 ἐν στενοχωρίᾳ Bd 221-228 θεοτ. MR II, 339 224 πανάχραντον Lo 225 ἐκδυσώπησον Bd

τὰς πληγὰς τῆς ἐμῆς
ψυχῆς θεραπεῦσαι,
ἀνίατα νοσούσης.

f. 71v ᾠδὴ θ'. *Τὴν φωτοφόρον νεφέλην*

Ὡς φωτοφόρον ἀστέρα,
ὡς μαθητὴν ὄντα Πέτρου,
ὡς ἱεράρχην ἱερόν,
ὡς ποιμένων ποιμένα,
ὡς τῶν θαυμάτων αὐτουργόν,
ὡς ἔρεισμα πίστεως,
ὡς ἄρρηκτον
τεῖχος τῆς ἐκκλησίας
σὲ τιμῶμεν,
ὦ θεόφρον, οἱ πιστοί.

Σὲ Κατανέων ἡ πόλις,
ἡ διὰ σοῦ φωτισθεῖσα,
διὰ παντὸς ἀνευφημεῖ
καὶ τρυγᾷ καθ' ἑκάστην
ἐκ τῆς τιμίας σου σοροῦ
θαυμάτων τὰς χάριτας,
ἣν λύτρωσαι
ἐκ τῆς ἐπικρατείας
τῶν ἀθέων,
ἱεράρχα τοῦ Χριστοῦ.

Ἡ παναγία σου μνήμη
ἐφαπλουμένη ἐν κόσμῳ
καθάπερ ἥλιος, φωτὶ
φρυκτωρίας ἐνθέου
φωταγωγεῖ τοὺς ἐν αὐτῇ

227 θεραπεύσας Lo
heirm. θ' EE 14, n. 17, Andreae 229 φωτ[illegible]ον Dc Ea Pq Lo 232 ὡς ποιμένα ποιμένων Lo 234 ἔρισμα Ck Bd Lo 238 θεοφόρε οἱ πιστοὶ Dc Ea Pq Lo 239 καταναίων Pq 245 λυτροῦσ[illegible]a Pq λύτρωσε Lo 253 φωταγωγεῖς Ck

τιμῶντάς σε, Βύριλλε
μακάριε,
τοῦ Χριστοῦ ἱεράρχα,
ἣν τελοῦντας
περιφύλαττε ἡμᾶς.

θεοτ. Φέρουσα νέον ὡς βρέφος
τὸν προαιώνιον Λόγον,
ἐκπληττομένη ἡ σεμνὴ
ἀπεφθέγγετο κόρη·
« τέκνον ἐμόν, πῶς σὲ κρατῶ
κρατοῦντα τῷ νεύματι
τὰ σύμπαντα;
πῶς σε γάλακτι τρέφω
τὸν τροφέα
καὶ σωτῆρα καὶ Θεόν; ».

---

257 τελοῦντες Vm 259 φέρουσαν Pq 263 κρατῶ om. Db

IN S. ARTEMONEM

Synaxarium, 557: Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν [illegible]τέμωνος ἐπισκόπου Σελευκείας τῆς Πισιδίας. Οὗτος ὁ μακάριος τὴν Σελ[illegible]κειαν πατρίδα καὶ πόλιν ἔσχεν, ὡς ἐν αὐτῇ καὶ γεννηθεὶς καὶ τραφείς. [illegible] δὲ μακαρίου Παύλου τὰ ἐκεῖσε καταλαβόντος, οὐκ ἦν τὸν λύχνον ὑπὸ [illegible] μόδιον κρύπτεσθαι· ἀλλά γε οὗτος ὁ ἀπόστολος ποιμένα καὶ διδά[illegible]αλον τοῦ λαοῦ αὐτοῦ προεστήσατο. Θεαρέστως δὲ τὴν ἐγχειρισθεῖσαν [illegible]ὐτῷ ποίμνην ἰθύνων, γέγονε πᾶσι τοῖς χρείαν ἔχουσι λιμὴν σωτήριος, [illegible]ῶν, ὀρφανῶν, πτωχῶν προνοητής, ὡσαύτως ἰατρὸς ψυχῶν καὶ σωμά[illegible]· ἐν τούτοις καλῶς πολιτευσάμενος ἐν γήρει πίονι καταλύει τὸν βίον.

Mess. gr. 163 = Mg, ff. 98v-100v

Ὁ κανών.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Τῷ ἐκτινάξαντι ἐν θαλάσσῃ*

Τὸν ἐν ἀσκήσει, ὡς ἐν θαλάσσῃ,
τὴν τυραννίδα τῶν παθῶν
ἀποτιναξάμενον, τινὰς Αἰγυπτίους Μωσῆς,
Ἀρτέμωνα τὸν Χριστοῦ
ἱερομύστην τιμήσωμεν ἀξίως.

Ἀληθινῷ φωτὶ τοῦ κυρίου
σημειωθεὶς δαυϊτικῶς
ἔλαμψας, παμμάκαρ, ταῖς ἀκτῖσι τοῦ πνεύ[illegible]ος,
φωτίζων, πάτερ, ἡμᾶς
νυκτομαχοῦντας τοῦ βίου ταῖς ἀπάταις.

Ἱερωσύνης χρῖσμά σοι, πάτερ,
μύρον ῥυέν σοι ἀρετῶν

heirm. α' ΕΕ 229, n. 328. Germani 3 ἀποτιναξ[illegible]ον, ὥσπερ τινάς... 11 χρῖσμά σε | χρήσμασι

ἀπὸ κεφαλῆς ἐπὶ τὸν πώγωνα πνευματικῶς,
δεύτερον Ἀαρὼν
ἀνέδειξέ σε Χριστοῦ τῇ ἐκκλησίᾳ.

θεοτ. Ἡ προστασία τῶν δεομένων,
ἡ σωτηρία καὶ ἐλπὶς
τῶν ἀπελπισμένων, θεοτόκε πανύμνητε,
ἱκέτευε ἐκτενῶς
τοῦ λυτρωθῆναι ἡμᾶς ἐκ τῶν κινδύνων.

ᾠδὴ γ'. *Στερέωσον ⟨ἡμῶν τὸν νοῦν καὶ τὰς καρδίας⟩*

Πρόβατον λαβὼν ὁ πάνσοφός σε Παῦλος,
f. 99 ‖ ἔθετο ποιμένα τῶν Χριστοῦ θρεμμάτων,
ἀπογευσάμενον, πάτερ, ὕδατος ζῶντος
ἐξ ἀλλοτρίας ἀποδρῶντος πηγῆς.

Πηδαλιουχῶν τὴν νοητὴν ὁλκάδα
ὁριαζομένην πνευματικαῖς αὔραις,
εἰς τὸν παγγάληνον, πάτερ, θεῖον λιμένα
τῆς βασιλείας Χριστοῦ ἴθυνας.

θεοτ. Χαίροις παρ' ἡμῶν, ἁγία θεοτόκε·
χαῖρε, ἡ χαρὰν κυήσασα τῷ κόσμῳ·
χαῖρε, ἡ μόνη ἀντίληψις τῶν ἀνθρώπων,
εὐλογημένη θεοτόκε ἁγνή.

ᾠδὴ δ'. *Εἰσακήκοα, κύριε,*

Ἐπαγάλλεται σήμερον
πόλις Σελευκεία ⟨— — ⏑́ —⟩
τὸ οἰκεῖον φέρουσα θρέμμα,
εὐωδίαν Θεοῦ
Ἀρτέμωνα τὸν θαυμαστόν.

18 ἀπελπισμένων pro ἀπηλπισμένων
heirm. γ' EE 229, n. 328, Germani. 23 ἀπογευσάμενος 25 πιδαλίωχον (sic)
heirm. δ' EE 231, n. 331, Andreae 34 quattuor syllabae desiderantur

Καταγώγιον γέγονας
τῆς παναγίας, θεόφρον, Τριάδος,
καθαρότητι καρδίας σου
διαθρέψας αὐτὴν
φιλοξένως ὡς Ἀβραάμ.

Τοῦ Ἰακὼβ τὰ ἐξαίρετα
καταπλουτήσας, θεόφρον πάτερ,
τὰ πατρῷα σπλάγχνα ἤνοιξας
ὀρφανοῖς καὶ πτωχοῖς
πᾶσιν ἐπαρκῶν δαψιλῶς.

θεοτ. * Χαῖρε, θρόνε πυρίμορφε·
f. 99v χαῖρε, λυχνία ‖ λαμπαδηφόρε,
νοερὸν θυσιαστήριον,
κιβωτὲ λογική,
ἁγία ἁγίων σκηνή.

ᾠδὴ ε'. *Ὁ ἐκ νυκτὸς ἀγνοίας*

Τῶν ἀρετῶν τῇ αἴγλῃ
ὡς ἑωσφόρος πρωῒ ἀνατέλλων ὤφθης·
τῶν παθῶν ἐμείωσας
τὸ ζοφῶδες, πάτερ μακάριε.

Ὡς φοιτητὴν Παύλου
καὶ μιμητὴν ἐγνωκότες, μακάριε,
ἀποστόλων μέτοχον
καὶ Χριστοῦ ποιμένα δοξάζομεν.

θεοτ. Τῶν Χερουβὶμ φανεῖσα
τιμιωτέρα, παρθένε πανύμνητε,
πρέσβευε τῷ υἱῷ σου
σῶσαι τὰς ψυχὰς τῶν ὑμνούντων σε.

39 πάτερ post Τριάδος add. cd. 47 ἐπαρκὸν 48 [illegible] θεοτ. TR, 472
50-52 χαῖρε ὄρος ἁγιάσματος, / κιβωτὲ τῆς ζωῆς, / ἁγίων ἁγία σ[illegible] TR
heirm. ε' EE 226, n. 323, Germani 61-64 idem [illegible] in η' canonis XIX, invenies

ᾠδὴ ϛ΄. *Χιτῶνά μοι παράσχου φωτεινόν*

Τῶν θείων ἐντολῶν τὴν σὴν ψυχὴν
θησαυροφυλάκιον,
πάτερ, κτησάμενος,
τοῦ βασιλέως καὶ Θεοῦ ταμεῖον γέγονας.

Ἐν πόᾳ τῇ τῆς πίστεως Χριστοῦ
ἐκθρέψας τὸ ποίμνιον
τοῦ Ἄβελ, 〈 ´ — —〉
τὸ τιμαλφέστερον Θεῷ δῶρον προσήνεγκας.

θεοτ. * Ἡ μόνη διὰ λόγου ἐν σαρκὶ
τὸν Λόγον κυήσασα,
ῥῦσαι δεόμεθα
τῶν παγίδων τοῦ ἐχθροῦ τὰς ψυχὰς ἡμῶν.

ᾠδὴ ζ΄. *Ὁ ἐν ἀρχῇ τὴν γῆν θεμελιώσας*

f. 100 ‖ Ὁ ἀπλανῆ ὁδηγὸν φανερώσας
τῶν ἐν ὁδῷ ἀμώμῳ ὁδευόντων,
« εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας,
κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν ».

Ὁ τοῖς θεσμοῖς δείξας τῆς ἐγκρατείας
Ἀρτέμωνα ἐφάμιλλον ἀγγέλων,
« εὐλογητὸς 〈εἶ〉 εἰς τοὺς αἰῶνας,
κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν ».

Ὁ δωρεῶν δείξας διανομέα
πνευματικῶν καὶ παθῶν καθαιρέτην,
« εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας,
κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν ».

heirm. ϛ΄ EE 224, n. 321, Joannis 71 τοῦ ἄβελ προσήνεγκας cd. (cfr. v. 72): tres syllabae desiderantur 73-76 θεοτ. MR III, 241
heirm. ζ΄ EE 226, n. 323, Germani 78 ἀμώμου cd. τὸν ποιμενάρχην add. cd. 79, 83 cd. varie abrumpit orationem 83 εἶ om. cd. 86 τὸν ἱεράρχην post καθαιρέτην add. cd.

θεοτ. * Ὁ ἐν γαστρὶ τῆς παρθένου οἰκήσας
καὶ ἐν αὐτῇ τὸν Ἀδὰμ ἀναπλάσας,
« εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας,
κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν ».

ᾠδὴ η΄. *Τὸν ἐν ὄρει ἁγίῳ δοξασθέντα*

Τὴν φυτείαν
Παύλου τοῦ ἀποστόλου
ὡς κομῶσαν βότρυας ἰαμάτων,
Ἀρτέμωνα τὸν ὅσιον δοξάζομεν,
κύριον ὑμνοῦντες
καὶ ὑπερυψοῦντες
αὐτὸν εἰς τοὺς αἰῶνας.

Τὸν ἐν ὕψει
τῆς ἀρχιερωσύνης,
ὡς ἀστέρα καταλάμψαντα κόσμον
ταῖς ἀρεταῖς, Ἀρτέμωνα, δοξάσωμεν,
κύριον ὑμνοῦντες
καὶ ὑπερυψοῦντες
αὐτὸν εἰς τοὺς αἰῶνας.

Τὴν ἱεράν σου
μνήμην ἐκτελοῦντες,
εὐφροσύνης πληρούμεθα ἐνθέου
οἱ εὐσεβείας τρόφιμοι, μακάριε,
κύριον ὑμνοῦντες
καὶ ὑπερυψοῦντες
αὐτὸν εἰς τοὺς αἰῶνας.

θεοτ. * Τὸν ἐν μήτρᾳ
οἰκήσαντα παρθένου
καὶ ἐν αὐτῇ φρικτῶς καὶ ὑπὲρ λόγον

89-92 θεοτ. MR IV, 116
heirm. η΄ EE 226, n. 323, Germani 97 ὑμνεῖτε 98 ὑπερυψοῦτε 103 τὸν ὅσιον post Ἀρτέμωνα add. cd. 104 ὑμνεῖτε 105 ὑπερυψοῦτε 112 post καὶ cetera om. cd. 114-120 θεοτ. MR I, 34 116 ταύτῃ MR

τὸν παλαιὸν Ἀδὰμ ἀναπλάσαντα
κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

f. 100v || ᾠδὴ θ′. *Τὸν προδηλωθέντα ἐν ὄρει τῷ νομοθέτῃ*

Ἔνδυμα ἀθάνατον λαβὼν τῆς ἀφθαρσίας
ἐν τῇ ἀπεκδύσει, πάτερ,
τοῦ πάλαι ὡς ἀνθρώπου
ἀκατασβέστου ἐλαίου λαμπάδι
εἰς τὸν τοῦ Χριστοῦ νυμφῶνα εἰσελήλυθας.

Τὸ τῆς θείας χάριτος πῦρ ἐν τοῖς ὁσίοις λειψάνοις
παρεδρεύει, πάτερ, σοφῶς·
τῶν ἐν αὐτοῖς προστρεχόντων
μετὰ πίστεως ἀπελαύνει ὀξέως
τῆς ψυχῆς τὰ πάθη καὶ τοῦ σώματος.

Τοῖς ἐπιτελοῦσι τὴν μνήμην σου ἐτησίως
ἀνταπόδος, ὅσιε,
ἀνταπόδοσιν θείαν,
τοῖς εὐσεβῶς ἐν εἰρήνῃ βιοῦσιν
ἀπολύτρωσιν ἐκ παντοίων κακῶν.

θεοτ. * Σὺ εἶ, θεοτόκε, τὰ ὅπλα ἡμῶν καὶ τεῖχος·
σὺ εἶ ⟨ἡ⟩ ἀντίληψις
τῶν εἰς σὲ προστρεχόντων,
σὲ καὶ νῦν εἰς πρεσβείαν κινοῦμεν,
ἵνα λυτρωθῶμεν τῶν ἐχθρῶν ἡμῶν.

117 ἀναπλάσαντα] ἀνακαινίσαντα MR   120 αὐτὸν εἰς] εἰς πάντας MR
heirm. θ′ EE 226, n. 324, Germani (ἐν ὄρει ἁγίῳ τῷ νομοθέτῃ cd.)
134 τοῖς] τούς; βιοῦσιν] βιῶσαι   136-140 θεοτ. MR III, 325   137 ἡ om. cd.

IN SANCTUM CYRIACUM

Synaxarium, 170: ..... ἄθλησις τοῦ ἁγίου ἱερομάρ[illegible]ρος Κυριακοῦ τοῦ φανερώσαντος τὸν τίμιον σταυρὸν ἐπὶ τῆς ἁγίας Ἑλέν[illegible]. Οὗτος. ..... γέγονεν ἐπίσκοπος Ἱεροσολύμων μετὰ Μακάριον· καὶ π[illegible]εινεν ἡ ζωὴ αὐτοῦ μέχρι τῆς βασιλείας Ἰουλιανοῦ τοῦ παραβάτου, [illegible]ς, κατὰ τῶν Περσῶν πορευόμενος, ἀπῆλθεν καὶ εἰς Ἱερουσαλὴμ καὶ [illegible]θὼν περὶ τοῦ ἁγίου καὶ ἀποστείλας καὶ κρατήσας αὐτὸν παρέστησεν τ[illegible]δίῳ κρατηρίῳ καὶ ἀναγκάσας αὐτὸν θῦσαι τοῖς εἰδώλοις ἠλέγχθη ὑπ' αὐ[illegible]. Ὅθεν ἐκέλευσεν κοπῆναι τὴν δεξιὰν αὐτοῦ χεῖρα εἰπών· « ὅτι σὺ τ[illegible]λὰς ἐπιστολὰς γράψας μετὰ τῆς χειρὸς ταύτης, πολλοὺς ἐπέστρεψας ἀ[illegible] τῶν θεῶν· » εἶτα ἐξέχεε μόλιβδον ἐν τῷ στόματι αὐτοῦ, καὶ μετὰ [illegible]τα ἐτέθη ἐπὶ κραββάτου χαλκοῦ πυρωθέντος. Ἐλθοῦσα δὲ πρὸς αὐτὸν ἡ μήτηρ αὐτοῦ, ἐκρατήθη καὶ αὐτὴ καὶ κρεμασθεῖσα ἐκ τῶν τριχῶν καὶ ξ[illegible]νη ἀπέθανεν. Εἶτα ἐμβληθεὶς καὶ αὐτὸς εἰς λέβητα ἐπλήγη μετὰ το[illegible]κονταρίου καὶ ἐτελειώθη.

Crypt. Δ.α. XVII = Ck. ff. 75-78v

Ὁ κανών.

Ἦχος πλ. δ′.

ᾠδὴ α′. *Τῷ ἐκτινάξαντι ἐν θαλάσσῃ*

Μάρτυς ἐν μάρτυσι διαλάμψας,
ἐν ἱερεῦσι δὲ ποιμήν,
νόμου τε μεσίτης καὶ τῆς χάριτος πρόμαχος,
Ἰούδα Κυριακέ,
σὲ μακαρίζει σεπτῶς ἡ ἐκκλησία.

tit. Μαρτίου κβ′ τοῦ ἁγίου ἱερομάρτυρος βασιλείου καὶ τοῦ [illegible] κυριακοῦ ἐπισκόπου ἱεροσολύμων καὶ ἄννης τῆς μητρὸς αὐτοῦ καὶ ἀδαλῶν τοῦ [illegible]δου - cd. duos canones alternatis odis refert; prior canon, sancto Basilio [illegible]atus, inc. Σοῦ τὴν βασίλειον δόξαν MR IV, 129-134; sequitur canon quem [illegible]ferimus et codice verbis exhibitus ἕτερος κανὼν ....
heirm. α′ EE 229, n. 328, Germani

Νίκης τὸ τρόπαιον φανερώσας
διὰ συμβόλου προσευχῆς
Ἰούδα, ἐκλήθης Κυριακός· πᾶσι γέγονας
θησαύρισμα ἱερόν,
μυσταγωγεῖον καὶ μάρτυς ἀληθείας.

Ὑπὲρ τῆς πίστεως φερωνύμως
Ἄννα τὰ ἄνω πρακτικῶς
πίστει ἐκζητοῦσα, πρὸς τὸν τύραννον ἔλεγεν·
« ἀργοῦσίν σου αἱ πληγαί,
τύραννε καὶ ἐχθρὲ τῆς ἀληθείας ».

θεοτ. Τὴν ὑπὲρ λόγον Θεὸν τεκοῦσαν
τὸν σαρκωθέντα ἐξ αὐτῆς
πᾶσαι αἱ φυλαὶ τῆς γῆς σεπτῶς μακαρίσωμεν·
πρεσβεύει γὰρ ἐκτενῶς
τοῦ λυτρωθῆναι ἡμᾶς ἐκ τῶν κινδύνων.

f. 75v ᾠδὴ γ'. *Ὁ στερεώσας λόγῳ τοὺς οὐρανοὺς*

Ἰσχὺν καὶ κράτος ἔχων τὸν Ἰησοῦν,
ἱερέων δόξα,
Κυριακὲ ἀθλητά,
Ἰουλιανὸν κατέβαλες
νῦν τὸν παραβάτην, ἀήττητε.

Χαίρει ἐν σοί, παμμάκαρ Κυριακέ,
ὁ Κρανίου τόπος
καὶ Ἀντιόχεια
καὶ τὰ Ἱεροσόλυμα,
τοῖς σοῖς εὐφραινόμενα θαύμασιν.

Ἐπὶ τὰ ἄνω σπεύδουσα ἀληθῶς
φερωνύμως, Ἄννα,
πάνυ ὑπέμεινας

8 ἰούδας 10 μυσταγωγίων
heirm. γ' EE 226, n. 324, Germani 30 εὐφραινόμεθα cd.

πυρὶ καὶ ξίφει φέρουσα
δι' ὑπομονῆς τὸ μαρτύριον.

θεοτ. Ἰσχὺς καὶ κράτος πάντων τῶν ἐπὶ γῆς
καὶ λιμὴν ὑπάρχουσα,
θεοτόκε ἁγνή,
λύτρωσαι τοὺς δούλους σου
ἐκ πάσης τοῦ ἐχθροῦ περιστάσεως.

Κάθισμα.

Ἦχος α'. *Τοῦ λίθου σφραγισθέντος*

Ἑβραῖος ἐξ Ἑβραίων
κατὰ νόμον ἀρξάμενος,
τοῦ σταυροῦ δὲ φανέντος
κατὰ πνεῦμα πληρούμενος,
καθεῖλας τοῦ ἐχθροῦ τὰς προσβολάς,
πυρί τε καὶ ξίφει προσβαλὼν
καὶ τὴν πλάνην τῶν εἰδώλων
ὥσπερ ἱστὸν ἀράχνης διέλυσας·
δόξα τῷ δεδωκότι σοι ἰσχύν,
δόξα τῷ στεφανώσαντι,
δόξα τῷ φενερώσαντι διὰ σοῦ
σταυρὸν τὸν τίμιον.

Ἄλλο.

Ἦχος δ'. *Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ*

Ἐν τῷ Κρανίῳ τὸν σταυρὸν κεκρυμμένον
ἀναγαγών, πρὸς τὸν Θεὸν μετετέθης
τὸ πονηρὸν συνέδριον Ἑβραίων καταλιπών·
μάρτυς θεῖος γέγονας

heirm. καθ. HR, 234
heirm. καθ. MR I, 162

καὶ σοφὸς ἱεράρχης,
λόγοις θείας γνώσεως
τὴν σὴν ποίμνην διδάξας,
Κυριακέ· διὸ ὑπὲρ ἡμῶν
καθικετεύεις ῥυσθῆναι ἐκ θλίψεως.

f. 76 ᾠδὴ δ'. *Εἰσακήκοα*
τὴν ἀκοήν σου, κύριε, καὶ ἐφοβήθην,
κατενόησα τὰ ἔργα σου
καὶ ἐξέστην,
ὅτι ἐν μέσῳ δύο ζώων ἐγνώσθης
εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Τὸ ἀκράδαντον
τῆς ἀμωμήτου πίστεώς σου, ἱεράρχα,
κατεπλάγησαν ὁρῶσαι
αἱ τάξεις τῶν ἀγγέλων,
ὅτε σὲ εἶδον ἐν τῷ χαλκῷ κραββάτῳ
ἐπὶ ἀνθράκων βασταζόμενον.

Ἄννα σήμερον
πρὸς οὐρανοὺς τὴν ἄνοδον μεταναστεύει·
ἄνω γὰρ εἶχε φερωνύμως
τὸν νοῦν προσηλωμένον·
ὅθεν καὶ φέρει τὸ ἄλγος τῶν βασάνων
καὶ στεφανοῦται ὡς ἀήττητος.

θεοτ. Καταχρέως σοι
πάντες τὸ « χαῖρε » κραυγάζομεν, θεοκυῆτορ·
ὁ γὰρ τὰ ἄνω μὴ γυμνώσας
τοῖς κάτω προσπελάζει
καὶ ἐκ σοῦ τὴν σάρκα δανείζεται ἀτρέπτως,
Θεὸς ὑπάρχων μετὰ σάρκωσιν.

---

heirm. δ' EE 223, n. 320, Joannis (5 γνωσθήση EE)

56-57 Joh. 8,23

f. 76v ᾠδὴ ε'. *Ὀρθρίζοντες βοῶμέν σοι, κύριε,*

Ῥητῶς Κυριακόν σε ὠνόμασεν ἡ Ἑλένη·
τοῦ κυριακοῦ γάρ σε
ἀρχιερέα ἐκύρωσεν.

Νικήσας Ἀδαλὼν ἐστεφάνωται πίστει κρ[illegible]άζων·
« ὁ Θεὸς ὁ ἅγιος
Κυριακοῦ μὴ ἀπώσῃ με ».

Ἰσχὺν καὶ λυτρωτὴν ὀνομάζουσα πίστει [illegible]να
Ἰησοῦν τὸν κύριον,
τοὺς ἀντιπάλους ἐνίκησεν.

θεοτ. * Παρθένον μετὰ τόκον ὑμνοῦμέν σε, θεο[illegible],
σὺ γὰρ τὸν Θεὸν Λόγον
σαρκὶ τῷ κόσμῳ ἐκύησας.

f. 77 ᾠδὴ ϛ'. *Χιτῶνά μοι παράσχου φωτεινὸν*

Ὑψώσας τὴν φωνήν, ἑβραϊστὶ
προσηύξω, μακάριε,
καὶ αἴτησιν ἔλαβες
καὶ εὐωδίας ὡς καπνὸς
ἐκ γῆς ἐξήρχετο.

Ἀδόλῳ προσελθὼν ὁ Ἀδαλὼν
ὁ πρῶτος ἐπάοιδος,
τὸν δρόμον ἐτέλεσεν,
τὴν διὰ ξίφους τελευτὴν
κομισάμενος.

---

heirm. ε' EE 226, n. 324, Germani 68-70 θεοτ. [illegible]R IV, 26
heirm. ϛ' EE 224, n. 321, Joannis

Τῷ ξύλῳ κρεμαμένη ταῖς θριξίν,
ἡ Ἄννα ἐξέετο
καὶ εὐχαρίστως
τῷ Θεῷ ὕμνον ἔμελπεν·
⟨δόξα σοι, κύριε⟩.

θεοτ. * Ἡ μόνη διὰ λόγου ἐν γαστρὶ
τὸν Λόγον κυήσασα,
ῥῦσαι, δεόμεθα,
τῶν παγίδων τοῦ ἐχθροῦ
τὰς ψυχὰς ἡμῶν.

f. 77ᵛ *ᾠδὴ ζ'. Ὁ ἐν ἀρχῇ*

Ἄξιος ὢν
τοῦ θρόνου τοῦ ἁγίου,
ἐν ᾧ πρὶν
Ἰάκωβος ὁ μέγας,
κατηξιώθης, θεόφρον πάτερ·
ἱκέτευε ἐκτενῶς
τοῦ σωθῆναι ἡμᾶς.

Ὄντως ἐν σοὶ
ἐνοίκησε τὸ πνεῦμα·
σὺ γάρ, σοφέ,
ἐδόθης παραδόξως
τοῦ φανερῶσαι τὴν σωτηρίαν,
[⟨κύριε⟩ ὁ Θεὸς
τῶν πατέρων ἡμῶν].

Δρόμον καλὸν
τελέσασα ἡ Ἄννα,
διὰ πυρὸς
καὶ ξίφους τελεσθεῖσα,

85 v. desideratur 86-90 θεοτ. MR VI, 391 86 γαστρὶ] σαρκὶ MR
heirm. ζ' EE 226, n. 323, Germani

τῆς ἄνω δόξης κατηξιώθη
σὺν τῷ ἐνδόξῳ υἱῷ,
καθὼς ᾐτήσατο.

θεοτ. * Ὁ ἐν γαστρὶ
τῆς παρθένου οἰκήσας
καὶ ἐν αὐτῇ
τὸν Ἀδὰμ ἀναπλάσας
εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας,
κύριε ὁ Θεὸς
τῶν πατέρων ἡμῶν.

ᾠδὴ η'. Τὸν ἐν ὄρει / ἁγίῳ ⟨δοξασθέντα⟩

Νέος ὤφθης
Μωσῆς τῇ παρρησίᾳ,
χρηματίσας
πιστῶς ⟨– – — — ' —⟩
f. 78 ἐν πατριάρχαις τε ‖ καὶ μάρτυσιν ὅσιος,
γέρας τε, Ἰούδα,
τύχοιμεν τοῦ κλήρου
τοῦ σοῦ εἰς τοὺς αἰῶνας.

Καταλείψας
ὁ εἷς τῶν ἐπαοίδων
τὰ τῆς πλάνης
θηρεύματα, γενναίως
ὁ Ἀδαλὼν τὸ αἷμα νῦν ἐξέχεεν
ὑπὲρ τοῦ σωτῆρος,
ὃν ὑπερυψοῦμεν
⟨εἰς πάντας τοὺς αἰῶνας⟩.

112-118 θεοτ. MR V, 116
heirm. η' EE 226, n. 323, Germani 122 quinq[illegible] syllabae obsoleti coloris causa legi non possunt. 130 γενναῖος 1[illegible] v. om. cd.

Ἄννα μάρτυς
καὶ μήτηρ τοῦ Ἰούδα,
φερωνύμως
τὰ ἄνω ἐκληρώσω
πυρί τε καὶ τῷ ξίφει προσπελάσασα·
πρέσβευε κυρίῳ
τοῦ ἐλεηθῆναι
ἡμᾶς τοὺς σὲ ὑμνοῦντας.

θεοτ. * Τὸν ἐν μήτρᾳ
οἰκήσαντα παρθένου
καὶ ἐκ ταύτης
φρικτῶς καὶ ὑπὲρ λόγον
τὸν παλαιὸν Ἀδὰμ ἀνακαινίσαντα,
κύριον ὑμνεῖτε
⟨καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας⟩.

f. 78v ᾠδὴ θ'. *Τὸν προδηλωθέντα ⟨ἐν ὄρει τῷ νομοθέτῃ⟩*

Ῥήτωρ ἐν τοῖς ῥήτορσι φοβερὸς ἀνεδείχθης,
Ἰουλιανὸν ἔπληξας
τῇ ἄνωθεν σοφίᾳ,
τῇ δοθείσῃ σοι τῇ εὑρέσει, θεόφρον,
τοῦ ζωοποιοῦ καὶ τρισολβίου σταυροῦ.

Ἀδαλὼν ὁ ἔξαρχος πρὶν τῶν ἐπαοίδων
κατιδὼν τὰ θαύματα
τοῦ ἱεροφάντου,
καθυβρίζων τὸν παραβάτην ἀνύει
καὶ διὰ τοῦ αἵματος τὸ βάπτισμα.

143-150 θεοτ. MR I, 34   146 φρικτὸς   148-149 vv. om. ed. heirm. θ' EE 226, n. 324, Germani

Τοῦ Κυριακοῦ τιμήσωμεν τὴν ὁσίαν μητέ[ρα]·
αὕτη γὰρ ἀλείψασα
τὸν υἱὸν πρὸς ἀγῶνας
ἀνεβόα, ῥαβδιζομένη, ἀνδρείως·
« Χριστός μοι βοήθεια καὶ λύτρωσις ».

θεοτ. * Σὺ εἶ, θεοτόκε, τὰ ὅπλα ἡμῶν καὶ τεῖχ[ος]·
σὺ εἶ ἡ ἀντίληψις
τῶν εἰς σὲ προστρεχόντων,
σὲ καὶ νῦν εἰς πρεσβείαν κινοῦμεν,
ἵνα λυτρωθῶμεν τῶν ἐχθρῶν ἡμῶν.

166-170 θεοτ. MR II, 270

Ср. с каноном на 3 марта, С 607
(мчч. Евтропия, Клеоника, Василиска)
В.Т. это метод работы Георгия; брал начальные тропари
и богородичны, середину меняя
V. – тропари, присущи С 607 на 3 марта

IN DUOS SS. ALEXANDROS ET IN DUOS SS. DIONYSIOS

Synaxarium, 537: "Αθλησις τῶν ἁγίων μαρτύρων Ἀγαπίου, Ἀλεξάνδρων δύο, Διονυσίων δύο, Τιμολάου..... Οὗτοι ὑπῆρχον κατὰ τοὺς καιροὺς Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ ..... Διονύσιοι δὲ ἐκ Τριπόλεως τῆς ἐν Φοινίκῃ..... ὁ δὲ Πλήσιος καὶ οἱ δύο Ἀλέξανδροι ἐξ Αἰγύπτου ἐτύγχανον. Οὗτοι πρῶτον μὲν τὰς ψυχὰς τῷ πρὸς Χριστὸν συνδήσαντες πόθῳ, ἔπειτα δὲ τὰς χεῖρας ὑποβαλόντες κλοιοῖς, Οὐρβανῷ τῷ τῆς Καισαρέων πόλεως ἡγεμόνι προσῆλθον, χριστιανοὺς ἑαυτοὺς προσαγγέλλοντες. Ὁ δὲ μήτε ἀπειλαῖς μήτε κολακείαις χαυνῶσαι αὐτοὺς δυνηθεὶς τῆς τοῦ Χριστοῦ πίστεως ἀποστῆναι, ξίφει τὰς κεφαλὰς αὐτῶν ἀφαιρεθῆναι προσέταξεν.

Crypt. Δ.α. XVII	=	Ck, ff. 82-85
Crypt. Δ.α. VII	=	Db, ff. 104v-106v
Vat. gr. 2008	=	Vm, ff. 115-116
Mess. gr. 163	=	Mg, ff. 101-116

Ὁ κανών.
Ἐν τοῖς θεοτοκίοις· Γεωργίου.

Ἦχος δ'.

ᾠδὴ α'. *Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος*

Ὁ πάντα τὰ καθ' ἡμᾶς ὡς εὔσπλαγχνος
δι' ἀγαθότητα
πρὸς τὸ συμφέρον, δέσποτα Χριστέ,
διεξάγων, εὐπρόσδεκτον

Ck f. 80 Μηνὶ Μαρτίῳ κδ' προεόρτια τοῦ εὐαγγελισμοῦ καὶ τῶν ἁγίων μαρτύρων ἀλεξάνδρων δύο καὶ διονυσίων δύο καὶ τῆς συνοδίας αὐτῶν. Ὁ κανὼν προεόρτιος inc. Ὁ κόσμος περιχαρῶς εὐφράνθητι MR IV, 140; sequitur "Ετερος κανὼν τῶν ἁγίων μαρτύρων, quem proferimus
heirm. α' EE 94, n. 133, Joannis

τὸν τῆς νηστείας δώρησαι
δρόμον ἡμῖν καὶ εὐεπίβατον.

Ἡ σάλπιγξ ἡ θεϊκὴ ἠχήσασα
ἐν γῇ συνήθροισεν
τῶν ἀθλοφόρων θείαν στρατιὰν
καὶ εἰς μάχην παρέστησεν
τῆς ἀθεΐας, ἔχουσαν
παρὰ Χριστοῦ τὰ νικητήρια.

Ὁ πόθος ὁ τοῦ κυρίου γέγονεν
ῥομφαία δίστομος
ἐν τοῖς ἁγίοις μάρτυσιν αὐτοῦ,
τὴν προσπάθειαν τέμνουσα
τῶν ἐπικήρων ἅπασαν
καὶ τυραννίδα τὴν τῆς φύσεως.

θεοτ. Γαλήνης τῆς νοουμένης πλήρωσον
τὸν τῆς νηστείας καιρὸν
ταῖς μητρικαῖς πρεσβείαις σου, ἁγνή,
καὶ ἡμᾶς χειραγώγησον
εἰς λιμένα σωτήριον
τῆς τοῦ υἱοῦ σου ἀναστάσεως.

ᾠδὴ γ'. *Εὐφραίνεται ἐπὶ σοὶ*

Κοσμήσας δι' ἀρετῆς
καὶ ἐγκρατείας τοὺς πιστῶς, δέσποτα,
σὲ ἀνυμνοῦντας ἐντὸς
θείας σου παστάδος εἰσάγαγε.

Ἀλέξανδρος κραταιοὺς
συνασπιστὰς τοὺς εὐκλεεῖς μάρτυρας

6 εὐεπίβατον] εὐαπόδεκτον Mg 11 ἔχοντες Mg 17 ἐπικήρων] ἐπιχόρων Mg
heirm. γ' EE 94, n. 133, Joannis Mg strophas hoc ordine refert 1, 3, 2, 4 26 πιστοὺς Ck Db Mg δέσποτα] δέσποινα Db Vm 27 ἐντὸς] ἔνδοθεν Mg

ἔχων, δυνάμεις ἐχθρῶν
καὶ τὰς παρατάξεις ἐνίκησεν.

f. 82v ‖ Ἐν ὕψει τῆς τοῦ Χριστοῦ
ἀναδραμόντες νοητῆς γνώσεως,
τούτῳ, σοφοὶ μάρτυρες,
δι' ὁμολογίας ἠγγίσατε.

θεοτ. Ἐν ὕψει τῆς τοῦ Χριστοῦ,
θεοχαρίτωτε, ἡμᾶς ἕλκυσον
θείας ἀγάπης, πτεροῖς
τοῖς τῆς ἐγκρατείας κουφίζουσα.

ᾠδὴ δ'. *Ἐπαρθέντα σε ἰδοῦσα ἡ ἐκκλησία*

Ὁ τῆς χάριτος τοῦ κτίστου ἄφθονος πλοῦτος
δι' ἐγκρατείας ἅπασι
καὶ πόνων ἐνθέων
τοῖς πιστοῖς παρέχεται·
οὗ νῦν ἐντρυφήσωμεν
προθυμίᾳ θείᾳ νευρούμενοι.

Ἐκ περάτων τῆς οἰκουμένης συναθροισθέντες
εἰς τὴν Χριστοῦ ἐπίγνωσιν,
μάρτυρες γενναῖοι,
γνώμην τὴν ὁμότροπον
ἀθλοῦντες ἐδείξατε,
διὸ καὶ νομίμως ἐστέφθητε.

Ἡ διπλῆ τῶν Ἀλεξάνδρων ὁμολογία
διπλῆν Διονυσίων
καὶ πλῆθος μαρτύρων

33 ἐν ὕψει τῆς] ἐν ὑψίστοις Mg 37-40 θεοτ. om. Db 37 Χριστοῦ] θεοῦ Mg 40 κουφίζουσα] νικήσασα Mg In Ck post odem γ' legitur κάθισμα et sequitur lacuna quinque versuum

heirm. δ' EE 94, n. 133, Joannis 53 ὁμωνυμία Db Vm 54 διονυσίων δύο Db

ἤγειρεν εἰς ζῆλον Θεοῦ,
f. 83 ὑφ' οὗ κραται‖ούμενοι,
πάντες τὸν ἐχθρὸν ἐτροπώσαντο.

Τὴν πολύπλοκον τῆς πλάνης οἱ ἀθλοφόροι
ἀπάτην, καρτερίας
ξίφει ἐκτεμόντες,
ἑαυτοὺς τῇ πίστει Χριστοῦ
ἀλύτως συνέδησαν
καὶ αὐτὸν ἀθλοῦντες ἐκήρυττον.

θεοτ. Ὡς τῆς φύσεως γινώσκουσα τῶν ἀνθρώπων
τὸ ἀσθενὲς καὶ ῥάθυμον,
μόνη παναγία,
ὄρεξον βοήθειαν
ἡμῖν τοῖς ὑμνοῦσί σε
ἐν καιρῷ νηστείας καὶ νήψεως.

ᾠδὴ ε'. *Σύ, κύριέ μου, φῶς εἰς τὸν κόσμον*

Ἀφάτων ἀγαθῶν
αἴτιός τε καὶ πρόξενος
ἐγγίνεται ἡ νηστεία·
καὶ γὰρ καθαίρει πάθη
καὶ ψυχὰς ἁγιάζει βροτῶν.

Σύ, κύριε, ἰσχὺν
τοὺς ἀθλοῦντας ἐνέδυσας·
τῷ κράτει καὶ θείῳ σθένει
δυναμούμενοι οὗτοι,
τὴν πλάνην ἐτροπώσαντο.

Σαλπίσαντες τρανῶς,
πανaοίδιμοι μάρτυρες,

70 νίψεως Db Vm Mg

heirm. ε' EE 94, n. 133, Joannis 72 αἰτία Mg 74 καὶ γὰρ πάθη καθαίρει Db Vm ἐκκαθαίρει γὰρ πάθη Mg 78 σῶ κράτει Db Vm σὺ κράτει Mg 79 δυναμούμενοι] συνεργούμενοι Mg

τὴν πίστιν τὴν τοῦ κυρίου,
τὰς φωνὰς τῶν ἀπίστων
ἐνθέως ἐσκεδάσατε.

θεοτ. Ῥυσθείημεν, ἁγνή,
παγίδων τοῦ θηρεύοντος
πρεσβείαις σου, τῇ νηστείᾳ
δυναμούμενοι πάντες
οἱ πόθῳ σε δοξάζοντες.

f. 83v ᾠδὴ ϛʹ. *Θύσω σοι / μετὰ φωνῆς αἰνέσεως, κύριε*

Οἱ πόνοι
τῆς ἐγκρατείας καὶ τὰ παλαίσματα
μετὰ δακρύων σπαρέντα
καρποὺς συγκομίζουσιν εὐφροσύνης
αἰωνίου
καὶ χαρᾶς ἀκηράτου ἐντρύφημα.

Τὰ πάθη·
τὰ τοῦ Χριστοῦ ποθοῦντες, ἀοίδιμοι,
συνεσταυρώθητε τούτῳ
ἐν καιρῷ νηστείας καὶ διὰ τοῦτο
τῆς ἐκείνου
ἀναστάσεως μέτοχοι ὤφθητε.

Σώματος
τὸ ἀσθενὲς ῥωννύντες οἱ μάρτυρες
τῇ τοῦ κυρίου ἀγάπῃ
καὶ στερρᾷ ἐλπίδι τὴν δυναστείαν
κατέβαλον
καὶ τὸ κράτος ἐχθροῦ τὸ ἀντίθεον.

---

85 ἐσκεδάσατε] ἐτροπώσαντο Mg a v. 88 usque ad finem canonem Mg abrumpit

heirm. ϛʹ EE 94, n. 133, Joannis 106 τῆς δυναστείας Ck In Db post odem ϛʹ legitur ⟨Κάθισμα. Ἦχος δʹ.⟩ Οἱ μάρτυρές σου, κύριε, ἐν τῇ ἀθλήσει ⟨αὐτῶν⟩ textum καθ. caret, idemque invenies in MR I, 212

θεοτ. Γέγονε
τῶν ἀνθρώπων ἡ φύσις, πανάχραντε,
διὰ τοῦ θείου σου τόκου
ζωῆς ἀθανάτου ἐν μετουσίᾳ,
ἐγκρατείᾳ
νευρουμένη καὶ πόνοις ἀσκήσεως.

f. 84 ᾠδὴ ζʹ. *Ἐν τῇ καμίνῳ / Ἀβραμιαῖοι παῖδ[illegible] τῇ Περσικῇ*

Ὕλην γεώδη
καὶ ἡδονὰς ἀφέντες τὰς τῆς σαρκός,
θείαις
τῆς νηστείας πτέρυξι πρὸς Χριστὸν
τὸν δεσπότην ἀναδράμωμεν,
« εὐλογημένος εἶ »
πρὸς αὐτὸν ἀσιγήτως κραυγάζοντες.

Ἐν τῇ καμίνῳ
τῇ τῶν πολλῶν βασάνων οἱ ἀθληταὶ
δρόσον
ἐκ Θεοῦ ἐδέχοντο νοητῶς
καὶ χορεύοντες ἐκραύγαζον·
« εὐλογημένος εἶ
ἐν τῷ ναῷ τῆς δόξης σου, κύριε ».

Ἀπορραγέντες
τῶν ἐπικήρων πάντων οἱ ἀθληταί,
μόνῳ
τῷ δεσπότῃ πόθῳ εἰλικρινεῖ
συνεδέθησαν κραυγάζοντες·
« εὐλογημένος εἶ
ἐν τῷ ναῷ τῆς δόξης σου, κύριε ».

heirm. ζʹ EE 94, n. 133, Joannis 118 Χριστὸν] [illegible]ν Ck 123 τῇ τῶν πολλῶν βασάνων] τῶν πειρασμῶν κληθέντες Db Vm 12[illegible]28, 134-135 cdd. varie resecant orationem

θεοτ. Ἰσχὺν ἡ πάλαι
ἐξασθενοῦσα φύσις τῶν γηγενῶν,
μόνη
παναγία, ζώννυται σαῖς λιταῖς·
διὰ τοῦτο τὸν πολέμιον
νηστείᾳ τρέπεται
καὶ βραβεῖα τῆς νίκης κομίζεται.

f. 84v ᾠδὴ η΄. *Χεῖρας ἐκπετάσας Δανιὴλ*

Μύστας ἡ νηστεία τοὺς βροτοὺς
ἁγνοὺς ἐργάζεται
Θεοῦ ἐμφάσεων
καὶ θείας χάριτος ἅπαντας
κοινωνοὺς ἀποτελεῖ αὐτὴν
τοὺς δεχομένους καὶ Χριστῷ
πόθῳ κραυγάζοντας·
« εὐλογεῖτε
πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

Θηρῶν νοουμένων, ἀθληταί,
δυνάμει κρείττονι
καὶ θείᾳ χάριτι
στόματα φράξαντες, ἄπαυστα
τῷ Θεῷ πάντων τὴν αἴνεσιν,
ἐγκαρτεροῦντες ἐκτενῶς
πίστει ἐκράζετε·
« εὐλογεῖτε
πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

Ἤρθησαν εἰς ὕψος νοητὸν
Χριστοῦ τῆς χάριτος
οἱ θεῖοι μάρτυρες·
κλίμακα θέμενοι ἄσειστον
τῶν ἀγώνων τὴν ἀνάβασιν

heirm. η΄ ΕΕ 94, n. 133, Joannis   150-151, 159-160, 168-169 cdd. varie abrumpunt orationem

καὶ προσεγγίσαντες αὐτῷ
ἀπαύστως ψάλλουσιν·
« εὐλογεῖτε
πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

θεοτ. Ὅπλισον ἡμᾶς κατὰ παθῶν
καὶ ἡδονῶν φθαρτικῶν
νηστείᾳ, ἄχραντε,
καὶ κατοχύρωσον πράξεσι
τοὺς ἐνθέοις σε δοξάζοντας
καὶ ἐκβοῶντας τῷ ἐκ σοῦ
τεχθέντι Λόγῳ Θεοῦ·
« εὐλογεῖτε
πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

f. 85 ᾠδὴ θ΄. *Λίθος ἀχειρότμητος ὄρους*

Ὅπλον κραταιὸν τὴν νηστείαν
κατὰ ἐχθρῶν τῶν νοουμένων
ἔχοντες, αὐτῶν τὰς δυνάμεις
καὶ παρατάξεις ἐκπολεμήσωμεν,
ἵνα Χριστοῦ τὴν ἔγερσιν
στεφηφοροῦντες ἐποψώμεθα.

Ἔχων θεοσύλλεκτον δῆμον
καὶ συμπολίτην ἐν πολέμῳ,
τοὺς τῆς ἀθεότητος πάντας
ἐχθροὺς ἐτρέψω, μάρτυς Ἀλέξανδρε,
μεθ᾽ ὧν βραβεῖα εἴληφας
τὸν στεφοδότην μεγαλύνων Χριστόν.

Ἐκ τῆς ἀενάου καὶ θείας
πηγῆς τοῦ πνεύματος ἀντλοῦντες,
ἄφθονα χαρίσματα πᾶσι
τῶν ἰαμάτων, ἅγιοι μάρτυρες,

172 νηστείᾳ] μαρία Vm   174 τοὺς] ταῖς Db Vm
heirm. θ΄ ΕΕ 94, n. 133, Joannis   191 ἀεννάου Ck

νάματα ἐπομβρίζετε
καὶ τῶν παθῶν φλόγα σβεννύετε.

Ὁ ἐνδοξαζόμενος μόνος
ἐν τοῖς ἁγίοις ἀθλοφόροις,
τούτων εὐπροσδέκτοις πρεσβείαις,
Χριστὲ οἰκτῖρμον, ἡμᾶς ἀξίωσον
ἀκαταγνώστους, δέσποτα,
τὴν σὴν ὑμνῆσαι ἐξανάστασιν.

θεοτ. Ὕπνον ἀποσόβησον πάντα
ἐκ τῶν ψυχῶν, θεογεννῆτορ,
τῶν σὲ ἀνυμνούντων ἀπαύστως
καὶ ἐν ἀγρύπνῳ στάσει παράστησον
τοὺς τὸν Χριστὸν δοξάζοντας
καὶ ἀσιγήτως μεγαλύνοντας.

---

200 ἡμῖν Vm 207 τὸν σὸν υἱὸν δοξάζοντας Db Vm

IN SANCTUM ZACHARIAM

Synaxarium de Sancto Zacharia silet (*).

Vat. gr. 2541 = Vt, ff. 112v-116v
Vallic. gr. E 54 = Ea, ff. 141-143
Paris. gr. 342 = Pr, ff. 147v-151
Paris. gr. 341 = Pq, pp. 148-155

Ὁ κανών, οὗ ἡ ἀκροστιχίς·
Τὸν σὸν γεραίρω, παμμάκαρ πάτερ, βίον. Ἰωσήφ.

Ἦχος δʹ.

ᾠδὴ αʹ. *Ἀνοίξω τὸ στόμα μου*

Ταῖς θείαις λαμπρότησι
καταυγαζόμενος, ὅσιε,
τὸ νέφος διάλυσον

Agioritis II, 53, adn. 1
Euergetinos I, 331, n. 11; 397 n. 6-9.

(*) « Ὁ ὅσιος οὗτος Ζαχαρίας φαίνεται ὅτι εἶναι ὁ χαριτωμένος ἐκεῖνος υἱὸς τοῦ ἀββᾶ Καρίωνος, ὁ ἑορταζόμενος κατὰ τὴν εἰκοστὴν τετάρτην τοῦ Νοεμβρίου, ὅστις παιδίον ὤν, ὑπῆγε μετὰ τοῦ πατρὸς αὐτοῦ εἰς τὴν σκῆτιν καὶ ἔγεινε μοναχός· καὶ εἰς τόσην ἀκρότητα ταπεινώσεως καὶ ἀρετῆς ἔφθασεν, ὥστε ἠξιώθη νὰ ἔχῃ εἰς τὴν ψυχήν του ἐγκάτοικον τὴν χάριν τοῦ παναγίου Πνεύματος, καὶ ἡμέραν καὶ νύκτα ἐφλέγετο ὑπ' αὐτῆς ἡ καρδία του, ὡς γράφεται ἐν τῷ Γεροντικῷ . . . . . ».

tit. Μηνὶ τῷ αὐτῷ κδʹ προεόρτια τοῦ εὐαγγελισμοῦ τῆς ὑπεραγίας θεοτόκου καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ ζαχαρίου τοῦ ἐν τῷ χερσῶνι Vt; in ff. 108-111 eiusdem cd. Κανὼν προεόρτιος inc. Ὁ κόσμος περιχαρῶς εὐφράνθητι MR IV, 140 Ἡ ἀκολουθία τοῦ ἁγίου τῆς ἡμέρας, τοῦ ὁσίου πατρὸς ἡμῶν ζαχαρίου Vt, f. 112. Μηνὶ τῷ αὐτῷ κδʹ προεόρτια τοῦ εὐαγγελισμοῦ τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτόκου καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν ζαχαρίου τοῦ ἐν τῷ χαρσιανῷ. ἡ τούτου ἀκολουθία ἄρχεται ἐν τοῖς ἀποδείπνοις. ζήτει ταύτην εἰς τὸ τέλος τῶν προεορτίων Pv; f. 147 eiusdem cd. ἀκολουθία τοῦ ἁγίου τῆς ἡμέρας, τοῦ ὁσίου πατρὸς ἡμῶν ζαχαρίου, ἐν ᾗ ψάλλεται ἐν τοῖς ἀποδείπνοις . . . .

heirm. αʹ EE 99, n. 141, Joannis 1-105 vv. in Pq desunt

τῆς διανοίας μου,
ὅπως μέλψω σου
τὸν βίον τὸν φωσφόρον
καὶ τὰ κατορθώματα
τῆς πολιτείας σου.

Ὀρθρίσας πρὸς κύριον,
δικαιοσύνης τὸν ἥλιον,
ἐκ βρέφους, πανόλβιε,
σκότος διέφυγες
τῶν τοῦ σώματος
παθῶν δι' ἐγκρατείας
καὶ χάριν ἐπλούτησας
θαυμάτων, ὅσιε.

f. 113 ‖ Νοὸς καθαρότητα
δι' ἀπαθείας κτησάμενος
τοῦ πνεύματος γέγονας
κατοικητήριον,
ἀξιάγαστε
παμμάκαρ Ζαχαρία,
πατέρων ἀγλάϊσμα,
φωστὴρ παγκόσμιε.

θεοτ. Σὲ μόνην, πανάμωμε,
ὁ Γαβριὴλ ἀσπαζόμενος
ἐξ ὕψους ἀφίκετο,
« χαῖρε », κραυγάζων σοι,
« οἰκητήριον
Θεοῦ τοῦ βασιλέως
καὶ θρόνε πυρίμορφε,
ὁσίων καύχημα ».

ᾠδὴ γ'. *Τοὺς σοὺς ὑμνολόγους, θεοτόκε*

Ὁλόνυκτον, πάτερ, ἱκεσίαν
ἀγρύπνῳ προσφέρων λογισμῷ

heirm. γ' EE 100, n. 141, Joannis Pr strophas hoc ordine refert 1, 3, 2, 4

Θεῷ τῷ παντοκράτορι,
πάθη σαρκὸς ἐκοίμησας·
ὅθεν προστάτης ἄγρυπνος
πάντων ἡμῶν ἐχρημάτισας.

Νεκρώσας τὰ μέλη ἐγκρατείᾳ,
ἐζώωσας, πάτερ, τὴν ψυχὴν
ταῖς θείαις ἐπιδόσεσι
τῶν ἀρετῶν νευρούμενος
παντουργικαῖς δυνάμεσιν,
ὦ Ζαχαρία πανάριστε.

Γευσάμενος καλὸν Θεοῦ ῥῆμα
καὶ γνώσεως θείας μετασχών,
ἡσύχως διετέλεσας
τὴν σὴν ζωὴν κολλώμενος
ἀνεπιστρόφως, ὅσιε,
τῷ φωτοδότῃ Θεῷ ἡμῶν.

f. 113v θεοτ. ‖ Ἐξ ὕψους ἁγίου ἐπιστάς σοι
ὁ μέγας ἐβόα Γαβριήλ·
« χαῖρε, Θεοῦ παράδεισε,
ζωῆς τὸ ξύλον ἔχουσα,
τὸν φυτουργὸν τῆς κτίσεως,
θεοχαρίτωτε δέσποινα ».

Κάθισμα.

Ἦχος α'. *Τοῦ λίθου σφραγισθέντος*

Μονάσας θεαρέστως,
Ζαχαρία πατὴρ ἡμῶν,
ἐν προσευχῇ καὶ νηστείᾳ
τὸν Θεὸν ἐξεζήτησας
καὶ γέγονας δοχεῖον καθαρὸν
τοῦ πνεύματος ἀστράπτων τοῖς πιστοῖς

heirm. καθ. HR, 234 κάθ. om Ea

ἀρετῶν λαμπηδόνας,
δι' ὧν φωτίζεις πάντας τοὺς τιμῶντάς σε·
δόξα τῷ σὲ δοξάσαντι Χριστῷ·
δόξα τῷ ἐνισχύσαντι· δόξα
τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

ᾠδὴ δ'. *Τὴν ἀνεξιχνίαστον θείαν βουλὴν*

Ῥώμῃ τε καὶ χάριτι δυναμωθεὶς
τοῦ παμβασιλέως Θεοῦ ἡμῶν,
τὰς πανουργίας
τῶν ἀσάρκων δυσμενῶν
ὁλοσχερῶς διέφυγες,
πάτερ Ζαχαρία θεόπνευστε.

Ἀγαλλιασώμεθα πνευματικῶς,
μνήμην ἐκτελοῦντες πανίερον
σημειοφόρου
καὶ σεπτοῦ ἡμῶν πατρός·
ταῖς ἱεραῖς δεήσεσι
τούτου δυσχερῶν ἐκλυτρούμεθα.

Ἴαμα ἀέναον σοῦ ἡ σορὸς
f. 114 βλύζει, Ζαχαρία || πανόλβιε,
τοῖς προσιοῦσι
καὶ καθαίρει μολυσμοὺς
σαρκὸς ὁμοῦ καὶ πνεύματος,
πάτερ θεοφόρε θεόληπτε.

Ῥῦσαι ἡμᾶς, ὅσιε, σαῖς προσευχαῖς
πάντων τῶν σκανδάλων τοῦ ὄφεως
καὶ τῶν παγίδων,
καὶ ἰάτρευσον ἡμῶν
τὰ χαλεπὰ νοσήματα
ταῖς πρὸς τὸν δεσπότην δεήσεσιν.

heirm. δ' ΕΕ 100, n. 141, Joannis 64 πανίερον] πανέορτον Ea
65 σημαιοφόρου Pr 69 ἀένναον Vt 75 σαῖς] ταῖς Vt

θεοτ. Ὤφθης θεοχώρητος ὄντως ναὸς
τοῦ παμβασιλέως, πανάμωμε
θεογεννῆτορ·
ὅθεν πάντες εὐσεβῶς
τοῦ Γαβριὴλ τὸ « χαῖρέ » σοι
πίστει ἀδιστάκτῳ προσφέρομεν.

ᾠδὴ ε'. *Ἐξέστη τὰ σύμπαντα*

Παθῶν κατεκράτησας
σαρκός, θεομακάριστε,
τῇ ὑπερβαλλούσῃ ἐγκρατείᾳ·
ὅθεν σοι θεία χάρις δεδώρηται
πάθη θεραπεύειν τῶν πιστῶς,
πάτερ, προσιόντων σοι,
Ζαχαρία πανόλβιε.

Ἁγίως τὸν βίον σου,
παμμάκαρ, διετέλεσας·
ὅθεν τοῖς ἁγίοις ἠριθμήθης
τοῖς ἀπ' αἰῶνος Θεῷ δουλεύσασι,
πάντων ἁγιάζων τὰς ψυχὰς
τῶν ἀνευφημούντων σου
τὰ σεπτὰ κατορθώματα.

f. 114v || Μακάριος γέγονας
τῷ ὄντι, ἀξιάγαστε·
σὺ γὰρ ἐν ὁδῷ δικαιωμάτων
τοῦ παντεπόπτου Θεοῦ πεπόρευσαι,
ἄκακος καὶ πρᾶος γεγονὼς
καὶ ταῖς ἀναβάσεσι
ταῖς καλαῖς σεμνυνόμενος.

θεοτ. Μακρὰν τὸ ἀνθρώπινον
Θεοῦ, παρθένε, γέγονε,

heirm. ε' ΕΕ 100, n. 141, Joannis 90 ὅθεν σοι χάρις θεία δεδώρηται Ea
91 θεραπεύει omnes cdd. excepte Ea 97 τῶν ἀπ' αἰῶνος θεῷ δουλεύσας σοι Vt
99 σου] σε Ea

σοῦ δὲ συλλαβούσης τὸν σωτῆρα
ἀνερμηνεύτως, θεοχαρίτωτε,
πάλιν εἰς παράδεισον μολεῖ
πίστει μακαρίζον σε,
θεοτόκε πανύμνητε.

ᾠδὴ ς'. *Τὴν θείαν ταύτην καὶ πάντιμον*

Ἁγνῶς βιῶσαι ἑλόμενος,
ἐγκράτειαν ὡς ἄσαρκος ἤσκησας,
στάσιν παννύχιον,
εὐχήν, σοφέ, ἀδιάλειπτον,
πίστιν ἀληθεστάτην,
θείαν ταπείνωσιν.

Καλῶν ἰδέαις κοσμούμενος,
ὡς ἄγγελος ὡράθης ἐν σώματι
πολιτευόμενος
καὶ μεταστὰς κατεσκήνωσας
μετὰ ἀγγέλων, πάτερ
θεομακάριστε.

Ἀγγέλους ἔχων συλλήπτορας
δαιμόνων ἀπεκρούσω φαντάσματα
καὶ πανουργεύματα
καὶ ἀπροσκόπτως διώδευσας,
ὦ Ζαχαρία, τρίβον
πρὸς ζωὴν φέρουσαν.

θεοτ. Ῥημάτων, κόρη πανάμωμε,
f. 115 τοῦ θείου Γα‖βριὴλ ὡς ἀκήκοας,
Λόγον συνέλαβες
ἐν τῇ ἀσπόρῳ νηδύι σου
καὶ ὑπὲρ λόγον τοῦτον,
παρθένε, τέτοκας.

113 μακαρίζω Vt μακαρίζων Pr Pq
heirm. ς' EE 100, n. 141, Joannis 121 ἠδέαις cdd.

ᾠδὴ ζ'. *Οὐκ ἐλάτρευσαν τῇ κτίσει οἱ θεόφρονες*

Παραδόξοις ἐπιδείξεσι, πανόλβιε,
θαυμάτων πάντων ψυχὰς
τῶν προστρεχόντων σοι
φωτίζεις τῇ χάριτι
τοῦ παντοκράτορος,
τοῦ φωτίσαντος
τὴν σὴν ψυχὴν καὶ δείξαντος
τοῦ ἡλίου λαμπροτέραν.

Ἀγαπήσας τελεώτατα τὸν κύριον,
νοὸς εὐθύτητι
πρὸς τούτου, πάνσοφε,
τελείως ἠγάπησαι
καὶ χάριν εἴληφας
πονηρότατα
ἀποδιώκειν πνεύματα
καὶ ἴασθαι πᾶσαν νόσον.

Τῶν δακρύων σου τὰ ῥεύματα δεξάμενος
ὁ παντεπόπτης Θεὸς
τῆς παρακλήσεως,
Ζαχαρία, μέτοχόν σε
ἀπειργάσατο,
ἧς ἐπέτυχον
οἱ τῷ Θεῷ δουλεύσαντες
ἐν εὐθύτητι καρδίας.

θεοτ. Ἐπιστάς σοι ὁ ἀσώματος, πανάμωμε,
« χαῖρε » προσφθέγγεται,
« πύλη τοῦ θείου φωτός,
βάθος δυσθεώρητον,
ὕψος ἀμέτρητον,
θρόνε πύρινε
τοῦ βασιλέως, δέσποινα,
ἱλαστήριον τοῦ κόσμου ».

heirm. ζ' EE 100, n. 141, Joannis 142 φωτίζειν Pr 149 τοῦτο Ea

f. 115v ‖ ᾠδὴ η'. *Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ*

Ῥώμῃ θεϊκῇ τὰς παρατάξεις
δαιμόνων τὰς ὀλεθρίους ἐξηφάνισας,
χάριν τε ἀπείληφας
παύειν ἀρρωστήματα
καὶ ἐκδιώκειν πνεύματα,
βοῶν, ἀκάθαρτα·
« τὸν κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Βιώσας, παμμάκαρ, θεαρέστως
δικαίοις σαφῶς τὸν ὀφειλόμενον
ὕπνον νῦν κεκοίμησαι
καὶ πρὸς ἀτελεύτητον
μετεβιβάσθης, ὅσιε,
βοῶν, ἀνάπαυσιν·
« τὸν κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε·
εἰς πάντας τοὺς αἰῶνας. ».

Ἰάσεις ἐκβλύζει παραδόξως
ἡ θήκη σου, πάτερ, τοῖς προστρέχουσι
πλύνουσα νοσήματα,
πάθη τε ξηραίνουσα,
ἣν προσκυνοῦντες μέλψωμεν
τὴν πολιτείαν σου,
τοὺς πόνους σου, τοὺς ἐνθέους ἀγῶνας,
μάκαρ Ζαχαρία,
φωστὴρ τῶν μοναζόντων.

Οἶκος τῆς Τριάδος, πάτερ, ὤφθης
οἰκῶν κατὰ μόνας ἐπὶ ἔτεσιν
πλείστοις, παναοίδιμε,

heirm. η' EE 100, n. 141, Joannis 178-179 om. Vt 185 ἀνάπαυσιν] ἀπόλαυσιν Ea Pa 187-188 om. Vt 193 μέλπομεν Pq

ψύχει πιεζόμενος
καὶ καύσωνι τηκόμενος
καὶ ταῖς ἁλύσεσι
συντρίβων τὸ σαρκίον καὶ τρίβων
τὴν τῆς ἀπαθείας
ὁδεύων, Ζαχαρία.

θεοτ. Ναμάτων με πλήρωσον, παρθένε,
ἐνθέων, ἡ τὴν πηγὴν κυοφορήσασα·
f. 116 λύτρωσαι τοῦ‖καύσωνος
τῶν ἁμαρτημάτων με
καὶ πρὸς ζωὴν ὁδήγησον,
πύλη τῆς ὄντως ζωῆς,
« τὸν κύριον ὑμνεῖτε », βοῶντα,
« καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

ᾠδὴ θ'. *Ἅπας γηγενὴς*

Ἴσχυσας Θεοῦ
δυνάμει καὶ χάριτι,
πάτερ, τροπώσασθαι
δράκοντα καυχώμενον
ἐν ἀφροσύνῃ καὶ τὴν ὀλέθριον
κάραν αὐτοῦ συνέθλασας
καὶ κατεπάτησας
τοῖς ποσί σου·
ὅθεν συνελθόντες σὲ
κατανύξει ψυχῆς μακαρίζομεν.

Ὤφθης οὐρανὸς
ὕψει πολιτείας σου,
καλλωπιζόμενος
θαύμασι, πανόλβιε,
ὡς θείοις ἄστροις καὶ καταυγάζων ψυχὰς

204 τῷ σαρκίῳ Vt 207 Ναμάτων] ἰαμάτων Vt Pr Pq 213-215 cdd. varie recidunt orationem
heirm. θ' EE 100, n. 141, Joannis

τῶν εὐσεβῶς ἑκάστοτε
προσπελαζόντων σοι
καὶ τιμώντων
πίστει τοὺς ἀγῶνάς σου,
Ζαχαρία, φωστὴρ διαυγέστατε.

Στήσας τῶν παθῶν
τὰ ῥεύματα, ὅσιε,
ὄμβροις δακρύων σου,
ῥεῖθρα τοῖς προστρέχουσι
θαυμάτων βρύεις, θεομακάριστε,
καὶ ὑπεξαίρεις καύσωνα
παθῶν ἑκάστοτε,
Ζαχαρία
πανιερώτατε,
ἐκκλησίας σεπτὸν ἐγκαλλώπισμα.

f. 116v ‖ Ἤνθησας σαφῶς
ὡς ῥόδον ἡδύπνοον
ἐν ἐκκλησίᾳ Χριστοῦ
καὶ κατευωδίασας
ὀδμαῖς θαυμάτων κόσμου τὰ πέρατα·
ὅθεν τὴν θείαν μνήμην σου
πανηγυρίζομεν,
ἐν ᾗ πᾶσιν
αἴτησαι συγχώρησιν,
Ζαχαρία, πολλῶν παραπτώσεων.

θεοτ. Φῶς τὸ ἐκ φωτὸς
ἐκλάμψαν ἀνέτειλεν
ἐκ τῆς νηδύος σου,
μῆτερ ἀειπάρθενε,
καὶ τὸ τῆς πλάνης σκότος ἀπήλασε
καὶ τὰ τῆς γῆς πληρώματα
πάντα ἐφώτισεν·
ὅθεν πίστει
« χαῖρέ » σοι κράζομεν,
θεοτόκε, ὁσίων τὸ καύχημα.

---

253 πᾶσαν Vt Pr Pq

IN ANNUNTIATIONEM

канон в Sin. gr. 601 сильно отличается

Crypt. Δ.α. XVII = Ck, ff. 93v-96v
Crypt. Δ.α. VII = Db, ff. 108v-111
Vat. gr. 2008 = Vm, ff. 118v-119v

Ἕτερος κανὼν εἰς τὸν Εὐαγγελισμόν.
Ποίημα Ἀνδρέου

Ἦχος δ'.

ᾠδὴ α'. *Ἅρματα Φαραὼ*

3 * Σήμερον Γαβριὴλ
ὁ ἀσώματος ἐλθὼν
ἄνωθεν, ἐμήνυσεν
τοῦ μυστηρίου τὸ θαῦμα,
λέγων τῇ παρθένῳ· «χαῖρε, σεμνή,
ἐν τῇ γαστρί σου ὁ κύριος».

— * Σήμερον ὁ Θεὸς
τοῖς ἀνθρώποις ἐπὶ γῆς
φαίνεται ὡς ἄνθρωπος,
ὁ κατ' οὐσίαν υἱὸς τοῦ πατρός·
ᾄσωμεν αὐτῷ ᾆσμα καινόν,
ὅτι ἐνδόξως δεδόξασται.

Integrum huc referimus canonem qui, quamvis receptus in serie, apud omnes pervulgata, hymnorum huius operis, nihilominus ab E. Follieri, « Studi e Testi 219 (1962) 337-357 » a mutilis fontibus editus est.

tit. τῇ ἑσπέρᾳ κανὼν ποίημα Ἀνδρέου Db ἕτερος κανὼν τοῦ Εὐαγγελισμοῦ. ποίημα Ἀνδρέου Vm

heirm. α' ΕΕ 104, n. 147, Andreae

* Σήμερον ὁ Θεὸς
τὴν φθαρεῖσαν πρὸ πολλοῦ
φύσιν προσλαβόμενος
ἐκ τῆς ἀχράντου παρθένου
ὅλον τὸν Ἀδὰμ ἀνέλαβεν,
οὐκ ἀπολέσας τὸ εἶναι Θεός.

Ἄφραστον ἀληθῶς
τὸ μυστήριον, πιστοί,
ὅτι ἀχώρητος
καὶ ἀπερίληπτος Λόγος,
εἷς ὢν τῆς Τριάδος φύσει Θεός,
ἐν τῇ γαστρὶ τῆς παρθένου οἰκεῖ.

* Ξένον καὶ ὑπὲρ νοῦν
τὸ τελούμενον, πιστοί·
πῶς ἡ ἀπερίληπτος
καὶ ὑπεράρχιος φύσις
f. 94 μήτραν γυναι‖κὸς ἐσκήνωσε
τὴν καθ' ἡμᾶς προσλαβοῦσα μορφήν.

Σήμερον ὁ Θεὸς
τὴν εἰκόνα τοῦ Ἀδὰμ
ὅλην προσλαβόμενος
ἐκ σοῦ, ἀγνὴ θεομῆτορ,
γέγονεν ἀτρέπτως ἄνθρωπος
μετὰ τὸ εἶναι Θεὸς ἀληθής.

* Ἄναρχον τὸν υἱὸν
συλλαβοῦσα ἐν γαστρί,
μόνη μητροπάρθενε,
τὸν βασιλέα τῆς δόξης,
ὤφθης ἀπορρήτως μήτηρ Θεοῦ
τοῦ σαρκωθέντος ὡς οἶδεν αὐτός.

τριαδ. * Ἀναρχόν σε ὑμνῶ
τὸν πατέρα καὶ υἱὸν
καὶ πνεῦμα τὸ ἅγιον,

13-18 trop. om. Db 19-24 trop. om. Db Vm 25-30 trop. om. Db 31-36 trop. om. Db Vm

μίαν οὐσίαν καὶ φύσιν,
μίαν βασιλείαν, ἕνα Θεόν,
τὸν ἐν τρισὶν ὑποστάσεσιν.

θεοτ. * Πρόσδεξαι καὶ ἡμῶν,
θεοτόκε, τὰς φωνάς,
ὕμνοις σε γεραίροντας
ἀγγελικῶς καὶ βοῶντας·
« χαῖρε, τῶν πιστῶν τὸ καύχημα·
χαῖρε, τοῦ κόσμου παντὸς ἡ ἐλπίς ».

ᾠδὴ β'. *Ἴδετε, ἴδετε ὅτι ἐγώ εἰμι*
ὁ Θεὸς ὁ Λόγος

* Ἴδετε, ἴδετε ὅτι ἐγώ εἰμι
ὁ Θεὸς ὁ Λόγος,
δι' ὃν ὁ ἄγγελος ἐλθὼν
πρὸ μνηστευθείσῃ ἁγνῇ
παρθένῳ, « χαῖρε », βοᾷ·
« μετὰ σοῦ γὰρ ὁ Θεὸς
καὶ υἱὸς τοῦ ὑψίστου,
ὁ παρέχων τὸ μέγα ἔλεος ».

* Ἴδετε, ἴδετε ὅτι ἐγώ εἰμι
ὁ Θεὸς ὁ Λόγος,
ὁ τοῦ πατρὸς μὴ χωρισθεὶς
καὶ χωρηθεὶς ἐν γαστρὶ
τῆς ἀνυμφεύτου μητρός,
διὰ πνεύματος θείου
τῆς ἀκτίστου Τριάδος
εἷς ὑπάρχων, κἂν σαρκὸς μετέλαβον.

* Ἴδετε, ἴδετε ὅτι ἐγώ εἰμι
ὁ Θεὸς ὁ Λόγος
ὁ Γαβριὴλ τὸν λειτουργὸν
τὸ τῆς ἀφράστου

heirm. β' EE 104, n. 147, Andreae odem β' om. Db 66 χωρεθεὶς Ck Vm 70 μετέλαβεν Ck

57-62 Luc. 1,26-28

σαρκώσεως μυστήριον
ἐκδιδάξας μυστικῶς
καὶ πρὸς κόρην ἁγίαν
καὶ παρθένον ἄνωθεν ἐκπέμψας αὐτόν

* Ἴδετε, ἴδετε ὅτι ἐγώ εἰμι
ὁ Θεὸς ὁ Λόγος,
ὁ ἐκ παρθένου σαρκωθεὶς
καὶ ἐξ αὐτῆς προελθών,
καθὼς ηὐδόκησα,
ὁ λυτρούμενος λαὸν
ἐκ φθορᾶς καὶ θανάτου
καὶ παρέχων τὸ μέγα ἔλεος.

θεοτ. * Ἴδετε, ἴδετε ὅτι ἐγώ εἰμι
ὁ Θεὸς ὁ Λόγος,
ὁ τὴν παρθένον οὐρανόν,
σκηνὴν καὶ πύλην καὶ ὄρος
καὶ λυχνίαν χρυσῆν
καὶ νεφέλην φωτεινὴν
ἐμαυτῷ ἀναδείξας
καὶ παρέχων τὸ μέγα ἔλεος.

ᾠδὴ γ'. *Ὁ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα*

* Ὁ Γαβριὴλ τὸ « χαῖρε » τῇ παρθένῳ
μηνύων, ἀπεφθέγγετο·
« πνεῦμα τὸ ἅγιον ἐπὶ σὲ
ἐπελεύσεται, παρθένε,
καὶ τὸν σωτῆρα κύριον
συλλήψῃ ἐν τῇ μήτρᾳ σου ».

f. 94v * ‖ Τῇ τοῦ Θεοῦ παρθένῳ συγχορεύει
παρθένων ἡ ὁμήγυρις·
χοροστασίαι δὲ τῶν πιστῶν

83 εὐδόκησα Db Vm 91 ὡς χρυσῆν Vm
heirm. γ' EE 104, n. 147, Andreae 100 τῇ in Vm deletum

97-100 Luc. 1,35

μυστικῶς ἀνευφημοῦσι
τὴν θεοτόκον σήμερον,
χωρήσασαν γαστρὶ τὸν Θεόν.

Ὁ τὸν Ἀδὰμ ἐν μήτρᾳ τῆς παρθένου
δι' ἄκραν ἀγαθότητα
ἀνακαινίσας, ὡς δυνατός,
δι' ἀγγέλου νῦν μηνύει
τὴν πρὸς ἡμᾶς κατάβασιν,
τὸ «χαῖρε» κεκραγότος αὐτῇ.

* Ἀδαμιαῖος γέγονας ὁ κτίστης
τὴν κτίσιν προσλαβόμενος
ἐπὶ τὴν πρώτην σου, βασιλεῦ,
ἀναμάρτητον εἰκόνα,
ἣν ὁ Ἀδὰμ τοῖς πάθεσιν
ἑκὼν προελυμήνατο.

Ὁ πρὸ αἰώνων Λόγος ἀπορρήτως
παρθένου μήτραν ᾤκησεν
καὶ τὴν οὐσίαν τὴν καθ' ἡμᾶς
προσλαβόμενος ἀφράστως
τῆς ἑαυτοῦ θεότητος
φυλάττει τὸ ἀξίωμα.

* Ὁ ἁγιάσας μήτραν τῆς παρθένου
καὶ θρόνον καὶ παράδεισον
διὰ σαρκώσεως ἀληθῶς
ἀναδείξας, εὐεργέτα,
τοὺς καθ' ἡμῶν κατάβαλε
καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

τριαδ. Τριάς, ἁπλῆ μονάς, τριὰς προσώποις
ὑμνείσθω ὁ Θεὸς ἡμῶν·
εἷς γὰρ ἀμέριστος, ἀλλ' οὐ τρεῖς,
εἰ καὶ ἓν τὰ τρία φύσει

105 τὴν] ὡς Db Vm 107-112 trop. om. Db Vm 113-118 trop. om. Db 119-124 trop om. Db Vm 127 ἀληθοῦς Db Vm

ὑπερφυῶς γνωρίζεται·
πατήρ, υἱὸς καὶ πνεῦμα Θεός.

θεοτ. * Τὴν ἐξ Ἀδὰμ τοῦ γένους ἀμορφίαν
ἐπεισαχθεῖσαν βρώματι
κυοφορούμενος, Ἰησοῦ,
ἐν γαστρὶ τῆς θεοτόκου
ὑπερφυῶς ἀνέπλασας,
τὸ πρῶτον κάλλος δοὺς ἡμῖν.

ᾠδὴ δ'. *Ἐν μέσῳ δύο λῃστῶν*
ὑψώθης ἐπὶ σταυροῦ, Χριστὲ ὁ Θεός,
καὶ ἐπήρθη ὁ ἥλιος τρόμῳ
καὶ ἡ σελήνη ἔστη ἐν τῇ τάξει αὐτῆς·
δόξα τῇ δυνάμει ⟨σου, κύριε⟩.

* Τὴν τοῦ ἀγγέλου φωνὴν
ἐδέξω ἐν τῇ γαστρί σου, « χαῖρε », σεμνή,
καὶ σὺν τῷ λόγῳ τὸν Λόγον ἐν μήτρᾳ
συνειληφυῖα ὤφθης, ἀπειρόγαμε,
μήτηρ τοῦ Θεοῦ ἀληθῶς.

* Τὸ πρὸ αἰώνων φρικτὸν
καὶ ξένον ἀποτελεῖ μυστήριον,
ὁ υἱὸς τοῦ Θεοῦ ἐκ παρθένου
τὴν καθ' ἡμᾶς οὐσίαν προσλαβόμενος,
ὅν, πιστοί, δοξάσωμεν.

Ἡ δι' ἀγγέλου χαρὰ
δοθεῖσα τῇ θεοτόκῳ σήμερον
τὴν ἄνοιαν τῆς Εὔας μηνύει

131-136 τριαδ. Db Vm his substituunt vv. Οἱ τὴν Τριάδα πίστει προσκυνοῦντες / ὁμότιμον καὶ σύνθρονον / καὶ ὁμοούσιον ἀληθῶς / ἀνυμνήσωμεν συμφώνως, / τριαδικῶς χορεύοντες, / σὺν τοῖς τῶν ἀγγέλων χοροῖς. (σὺν τοῖς ἀσωμάτων χοροῖς Vm). 137-142 θεοτ. MR I, 539 In Db Vm post odem γ' invenimus κάθισμα. Ἦχος δ'. *Ἀπεστάλη Γαβριὴλ* Γαβριὴλ ἐξ οὐρανοῦ MR IV, 175
heirm. δ' EE 104, n. 147, Andreae (2 ὑψώθης] ἐγνώσθης EE - 3 τρόμῳ] φόβῳ EE 5 τῇ δυνάμει σου, κύριε, om. Db. κύριε om. EE Vm) 148 Τὸν Ck 152 ὃν] ἣν Vm 153-157 trop. om. Db Vm

μετενεχθεῖσαν πάλιν πρὸς τὴν πρώτην χαρὰ[illegible]
τὴν πρὸ τῆς ἐκπτώσεως.

f. 95 * ‖ Ἡ Γαλιλαία τὴν σήν,
παρθένε, προδιαγγέλλει σύλληψιν
τὴν διὰ πνεύματος ὄντως ἁγίου
καὶ συγχορεύουσά σοι ἐκβοᾷ σὺν ἡμῖν·
« χαῖρε, ἡ παστὰς τοῦ Θεοῦ ».

* Ὁ κατ' οὐσίαν Θεὸς
καὶ Λόγος ὁ τοῦ πατρὸς ὑπάρχων υἱὸς
ἐν ἀχράντῳ οἰκήσας παρθένῳ,
σεσαρκωμένος ὅλως διαπλάττεται
μὴ τραπεὶς τοῦ εἶναι Θεός.

* Ὁ βασιλεὺς τοῦ παντὸς
καὶ κτίστης ἐν μήτρᾳ σου, πανάμωμε,
σαρκωθῆναι ἠνέσχετο φύσει
καὶ τὸν πεσόντα πάλαι ἀνενέωσεν
διὰ τῆς σαρκώσεως.

θεοτ. * Ὁ τὴν παρθένον ἁγνὴν
μητέρα ὑπερφυῶς τελέσας Θεὸς
ἐξ οὐρανίων ἐφοίτησε κόλπων
πρὸς τὴν ἡμῶν πτωχείαν, ἵνα σώσῃ ἡμᾶς
προαμαρτήσαντας.

ᾠδὴ ε'. *Ζῆλος λήψεται λαὸν ἀπαίδευτ[illegible]*
τοὺς παρανόμους Ἑβραίους
καὶ πῦρ ἔδεται
τοὺς ὑπεναντίους σου, Χριστέ,
ὅτι σὲ τὸν σαρκωθέντα
πλάνον ὠνόμασαν.

* Χαῖρε, ῥάβδος Ἀαρὼν βλαστήσασα,
τοῦ Ἰεσσαὶ δὲ ἡ ῥίζα,

158-162 trop om. Db 158 Γαλιλαία] Νεολαία Ck 166 ὅλος Db Vm 168-172 trop. om. Vm 171 ἀνενέωσε] ἀνεσώσατο Db
heirm ε' EE 104, n. 147, Andreae (4 σου, Χριστέ om. [illegible] 5 **σαρκωθέντα]** σταυρωθέντα EE Vm) a v. 4 post τοὺς heirmi usque ad [illegible]ας v. 284 **textum** in Db deest

---

178 Is. 11, 1-2

ἐξ ἧς ἤνθισεν
ὁ Ἐμμανουὴλ δίχα φθορᾶς,
καθὼς γράφει Ἡσαΐας,
λέγων ἐν πνεύματι.

* Χαίροις, ὅπερ Γεδεὼν ἑώρακεν
ὡς ὑετὸν ἐπὶ πόκον,
φρικτὸν ὅραμα,
καθὼς ἐμελῴδησε Δαυΐδ
ἐν τῇ λύρᾳ τῶν ᾀσμάτων,
ψάλλων ἐν πνεύματι.

* Χαῖρε, ὄρος νοητόν, ἀμόλυντε,
ἐξ οὗ ὁ λίθος ἐτμήθη,
Χριστὸς ὁ κύριος,
ὁ ἐπιφανεὶς ἄνευ σπορᾶς,
Δανιὴλ ὥσπερ προγράφει
ταῦτα ἐν πνεύματι.

* Χαῖρε, βάτε νοητή, ἡ ἄφλεκτος,
ἡ τῆς θεότητος ὅλης
τὸ πῦρ φέρουσα ·
ἔνδον τῆς γαστρὸς ἄνευ σπορᾶς,
τῷ Μωσεῖ ἀριδήλως
ὀφθεῖσα ἐν πνεύματι.

Χαίροις, μήτηρ ἀληθῶς πανάμωμε,
τῆς τοῦ πατρὸς εὐδοκίας,
ἐν ᾗ ἅγιον
πνεῦμα καταβὰν καινοπρεπῶς
τὸν υἱὸν σεσαρκωμένον
πᾶσιν ἀνέδειξε.

Χαῖρε, ἄχραντε σεμνὴ θεόνυμφε,
παρθενομῆτορ Μαρία,

---

184 χαῖρε Vm 191 ἐκ σοῦ Ck 192 ὁ in Vm deletum 196 ἡ ἄφλεκτος] καὶ ἄφλεκτε Vm 200 ἀριδήλως τῷ Μωσεῖ Vm 202-207, 208-213 trop. om. Vm

---

185 Ps. 71,6; 190-191 Dan. 2,34

ἁγνὴ δέσποινα ·
χαῖρε, ἡ τὸν Λόγον ἐν γαστρὶ
δι' ἀγγέλου συλλαβοῦσα,
ὥσπερ ηὐδόκησε.

θεοτ. * ‖ Χαῖρε, νύμφη τοῦ πατρὸς ἀμίαντε ·
χαῖρε, ἡ μήτηρ καὶ δούλη
Χριστοῦ, ἄφθορε ·
χαῖρε, τοῦ ἁγίου πνεύματος
καθαρώτατον δοχεῖον,
Τριάδος κειμήλιον.

ᾠδὴ ς'. *Ἐν πελάγει τοῦ βίου*
ταῖς πράξεσί μου κατῆλθον εἰς [illegible]δην

* Ὡς ἐπέστη ὑψόθεν
ὁ ἄγγελος ἐν πόλει Ναζαρὲτ
πρὸς τὴν παρθένον εὐαγγέλια χαρᾶς
προσεκόμισε, ταύτῃ
εὐαγγελιζόμενος
τὸν υἱὸν τοῦ Θεοῦ καὶ Λόγον.

* Ἐκπλαγεῖσα τῷ λόγῳ
ἡ ἄμεμπτος φησὶν τῷ Γαβριήλ ·
« ὁ ἀσπασμός σου προσφωνεῖ μοι τοκετόν ·
ἀνδρὸς πεῖραν οὐκ ἔγνων
καὶ πῶς λέγεις τέξομαι
τὸν υἱὸν τοῦ Θεοῦ καὶ Λόγον; ».

* « Μὴ φοβοῦ », τῇ παρθένῳ
ἐβόησε χαρᾷ ὁ Γαβριήλ ·
« χάριν γὰρ εὗρες ἐναντίον τοῦ Θεοῦ ·
διὰ πνεύματος θείου

---

heirm. ς' EE 106, n. 149, Andreae; in Vm heirmus his [illegible]litur vv.: Ἐν πελάγει τοῦ βίου / ταῖς πράξεσί μου / κατῆλθον εἰς ᾅδου[1] / ἀλλ' [illegible] κήτους Ἰωνᾶς[2] βοῶ σοι · / ἐκ βυθοῦ κατωτάτου[3]: [1] ᾅδην EE [2] οὕτω p[illegible] Ἰωνᾶς add. EE [3] κατωτάτου] τῶν κακῶν μου EE 220 ὕψωθεν Ck [illegible] ποτε post ἄγγελος add. Ck, ναζαρὲθ Vm

---

220-225 Luc. 1, 26-27; 228 id. 29; 229-231 id. 34; 23[illegible] id. 30; 234-237 id. 30-31

ᾠδὴ η'. *Τὸν ἐκτείναντα Θεὸν*
τὸν οὐρανὸν ὡσεὶ δέρριν
καὶ θεμελιοῦντα τὴν γῆν
ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς,
ἱερεῖς καὶ δοῦλοι
κυρίου, τὸν κύριον εὐλογεῖτε

* Τὸν ποιήσαντα Θεὸν
τὴν σὴν γαστέρα οὐρανόν,
θεοχαρίτωτε νύμφη,
καὶ ἐν αὐτῇ δίχα σπορᾶς
σαρκωθέντα Λόγον,
ὡς ἔχουσα, πάνσεμνε, παρρησίαν,
ὑπὲρ πάντων αὐτὸν
μὴ παύσῃ ἱκετεύειν.

* Τὸν ἐν μήτρᾳ γυναικὸς
κατασκηνώσαντα Θεὸν
καὶ ἀναδείξαντα ταύτην
ναὸν καὶ θρόνον νοητὸν
καὶ νυμφῶνα θεῖον
καὶ πύλην οὐράνιον εὐλογοῦμεν
καὶ ὑπερυψοῦμεν
αὐτὸν εἰς τοὺς αἰῶνας.

* Τὸν ἐν κόλποις τοῦ πατρὸς
καὶ ἐν νηδύϊ τῆς μητρὸς
συγκαταβάντα βουλήσει
κατ' εὐδοκίαν τοῦ πατρός,
ὡς Θεὸν ὑμνοῦμεν
καὶ ἄνθρωπον τέλειον προσκυνοῦμεν
καὶ ὑπερυψοῦμεν
αὐτὸν εἰς τοὺς αἰῶνας.

heirm. η' EE 105, n. 148, Andreae (Τὸν ἐκτείναντα ὅλον Vm) 298 αὐτὸν | ἡμῶν Db Vm 307 αὐτὸν εἰς] εἰς πάντας Db Vm idem evenit atque in vv. 315, 323, 331. 308-315 trop om. Vm

* Τὸν ποιήσαντα Θεὸν
τόμον τὴν μήτραν σου, ἁγνή,
καὶ ἐν αὐτῇ ἐγγραφέντα
οὐ διὰ μέλανος καινοῦ,
ἀλλὰ τῇ συνεργίᾳ
τῆς θείας τοῦ πνεύματος παρουσίας,
ἀνυμνεῖτε αὐτὸν
εἰς πάντας τοὺς αἰῶνας.

Τὸν ἐν σπλάγχνοις τῆς μητρὸς
κατασκηνώσαντα Λόγον
καὶ ἀνδρωθέντα δι' ἡμᾶς
δι' ἀγαθότητα πολλήν,
ὡς Θεὸν ἀφράστως
σαρκὶ γνωριζόμενον καὶ ἀφύρτως,
προσκυνοῦμεν αὐτὸν
εἰς πάντας τοὺς αἰῶνας.

τριαδ. * Τὸν βουλήσει τοῦ πατρὸς
ἐν τῇ κοιλίᾳ τῆς μητρὸς
κατασκηνώσαντα Λόγον
πνεύματος ἁγίου συνδρομῇ
τῆς Τριάδος ἕνα
ὑπάρχοντα κύριον εὐλογοῦμεν
καὶ ὑπερυψοῦμεν
αὐτὸν εἰς τοὺς αἰῶνας.

θεοτ. * Σὲ τὸν γνωρίσαντα ἡμῖν
τὴν ὑπερτέραν οὐρανῶν
καὶ ὑπὲρ πᾶσαν τὴν κτίσιν
παρθενομήτορα σεμνήν,
f. 96v || ὡς Θεὸν καὶ Λόγον
καὶ σάρκα γενόμενον ἐπ' ἐσχάτων
προσκυνοῦμεν πιστοὶ
εἰς πάντας τοὺς αἰῶνας.

322 ἀνυμνοῦμεν πιστοί Vm 316-323 stropham in locum [illegible]perioris trop. in Vm invenimus idem trop. om Db 324-331 tr[illegible] om. Db Vm 338-339 vv. om. Db 344 καὶ δεσπότην add. Ck Db 347 [illegible] αἰῶνας om. Ck

317 Is. 8,1

ᾠδὴ θ′. *Τὴν πυρένδροσον πάλαι*
κάμινον τῶν Χαλδαίων
καὶ πυράφλεκτον βάτον τὴν ἐν Σιναίῳ
θεοτόκον σε πάντες
ὕμνοις μεγαλύνομεν.

* Οὐρανός τε καὶ θρόνος
γέγονεν ἡ παρθένος·
τὸν γὰρ πάντων ποιητὴν ἐβλάστησεν,
ἣν ὡς νύμφην Θεοῦ
συμφώνως μεγαλύνομεν.

* Ὡς παράδεισος ὤφθης,
ἄχραντε Θεοτόκε,
τοῦ ἐν μήτρᾳ σου σαρκὶ βλαστήσαντος
καὶ ἡμῖν ἑνωθέντος
Λόγου ἐν ἐσχάτοις καιροῖς.

[Ὡς παρθένος καὶ νύμφη
πάντας συνεκαλέσω,
εὐαγγέλια τῆς θείας χάριτος
ἐν γαστρὶ δεξαμένη,
μήτηρ πανσεβάσμιε].

Μυστήριον ἄρρητον·
γέγονε τῆς παρθένου
ἡ ἀμόλυντος γαστὴρ δοχεῖον Θεοῦ,
ἐν ᾗ ὅλον ἡμῶν
ἐπράχθη τὸ κεφάλαιον.

* Γαβριὴλ τῇ παρθένῳ
ἦλθε φέρων τὸ « χαῖρε »,
τῆς προμήτορος τὴν λύπην λύων σαφῶς,
ἀλλ' ἡμεῖς ὡς Θεοῦ
μητέρα μεγαλύνομεν.

heirm. θ′ EE 106, n. 148, Andreae   [3] Σινᾶ Db Vm EE   [4] Θεοτόκε σὲ Vm   352 συμφώνως] ὕμνοις Db Vm   358-362 trop. om. Db Vm, v rsus vero et sententia in posteriori stropha (vv. 378-382) repetuntur.   363-367 trop. om. Db Vm   370 λύπει Db   371 ἀλλ' ἣν Vm Db

* Τὴν πορφύραν σου, Λόγε,
αἵμασι τῆς παρθένου
ὑφανθεῖσαν καὶ βαφεῖσαν ἄνευ σπορᾶς,
οἱ πιστοὶ συνελθόντες
πάντες μεγαλύνομεν.

* Ἡ παρθένος καὶ νύμφη
ἅπαντας συγκαλεῖται,
εὐαγγέλια τῆς θείας χάριτος
ἐν γαστρὶ δεξαμένη·
πάντες νῦν συνδράμωμεν.

θεοτ. * Τὴν παρθένον καὶ νύμφην
πάντες σὺν τῷ ἀγγέλῳ
εὐφημήσωμεν πιστῶς, βοῶντες αὐτῇ·
« χαῖρε, εὐλογημένη,
μετὰ σοῦ ὁ κύριος ».

373-377 trop. om. Vm   378-382 trop. om. Db   386 εὐλογημένη] ἡ κεχαριτωμένη Ck Db   387 ὁ κύριος μετὰ σοῦ Ck Vm

28 *MART.* *CANON* XXXI

IN SANCTUM STEPHANUM

Paris. gr. 1563 = Pb, ff. 116ᵛ-122ᵛ
Paris. gr. 1574 = Pu, ff. 73ᵛ-77

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Τοὺς σ⟨οὺς γ⟩εραίρω, παμμάκαρ, θείους πόνους. Ἰωσήφ.

Ἦχος α΄.

ᾠδὴ α΄. *Ὠιδὴν ἐπινίκιον*

Τὴν ἔνθεον μνήμην σου,
θεόφρον πάτερ,
πιστῶς ἑορτάζοντες,
τὸν τῶν ὅλων κύριον
ἀεὶ δοξάζομεν,
τὸν σὲ δοξάσαντα πολλοῖς,
Στέφανε, θαύμασιν.

---

tit. Μηνὶ μαρτίῳ κη΄ τοῦ ὁσίου πατρὸς ἡμῶν ἱλαρίωνος τοῦ νέου καὶ τοῦ ἁγίου στεφάνου τοῦ θαυματαυργοῦ Pb Pu, cdd. duos canones alternatis odis praebent: prior (sancti Ἱλαρίωνος) inc. Συμπαθὴς καὶ πρᾶος γεγονὼς MR IV, 198, sequitur ἕτερος κανὼν τοῦ ἁγίου στεφάνου, φέρων ἀκροστιχίδα τήνδε· Τοὺς σοὺς etc., sed acrost. tropariorum, cum odes β΄ desit, quattuor litteris caret.
heirm. α΄ EE 11, n. 15, Andreae

Ὁ νοῦς σου ταῖς νεύσεσι
ταῖς πρὸς τὸ θεῖον
πανσόφως θεούμενος,
παντελῶς ἀπένευσεν
ἐκ τῶν παθῶν τῆς σαρκὸς
καὶ ἄγγελόν σε ἐπὶ γῆς
ἔδειξε, Στέφανε.

Ὑπῆλθες ἀσκήσεως
τοὺς πόνους, πάτερ,
καὶ πάθη ἐνέκρωσας
τῆς σαρκὸς δυσκάθεκτα
καὶ τὴν ἀπάθειαν
ὡς διπλοΐδα φωτεινὴν
σαφῶς ἐνδέδυσαι.

Σταυρώσας τὰ μέλη σου
δι᾽ ἐγκρατείας
Χριστῷ, πάτερ, ἔζησας
τῷ σταυρῷ τὸν θάνατον
ἐξαφανίσαντι
καὶ ἰαμάτων δαψιλῆ
χάριν ἐπλούτησας.

θεοτ. * Συνέλαβες, ἄχραντε,
ἀρρήτῳ λόγῳ
f. 117 τὸν ‖ πάντα συνέχοντα
τὰ τῆς γῆς πληρώματα
καὶ τοῦτον τέτοκας,
ὃν ἐκδυσώπει ἐκτενῶς
τοῦ ἐλεῆσαι ἡμᾶς.

29-35 θεοτ. ETh, 107

ᾠδὴ γ'. *Στερεωθήτω ἡ καρδία μου*

Ἔργοις σεπτοῖς καὶ κατορθώμασιν
ἐναρέτοις, πάτερ, διέλαμψας,
ὥσπερ ἀστὴρ ὁλοφαὴς
μοναζόντων συστήματι
καὶ ἐφώτισας θαυμάτων
ἀστραπαῖς τὴν ὑφήλιον.

Ῥώμῃ καὶ χάριτι τοῦ πνεύματος
δυσμενεῖς ἀσάρκους κατέβαλες
καὶ ἀνυψώθης εὐκλεῶς
ἐν ταπεινῷ φρονήματι
καὶ θαυμάτων αὐτουργός,
πάτερ σοφέ, ἐχρημάτισας.

Αἱρετιζόντων, πάτερ, στόματα
ἀληθείας λόγῳ ἐνέφραξας
καί, διωγμοὺς ὑπενεγκών,
f. 117v || στέφος θεῖον ἀπείληφας
ἄνευ μωλώπων γενόμενος,
σοφέ, μάρτυς ἄριστος.

θεοτ. Ἵνα Θεὸς ἄνθρωπος γένηται,
ὁ Θεὸς ἐγένετο ἄνθρωπος,
ἐκ σοῦ τῆς μόνης καθαρᾶς
ἀρχὴν λαβὼν ὁ ἄναρχος·
διὰ τοῦτό σε, παρθένε,
οἱ πιστοὶ μακαρίζομεν.

Κάθισμα.

Ἦχος δ'. *Ταχὺ προκατάλαβε*

Θεῷ καθιέρωσας
....

heirm. γ' EE 12, n. 16, Andreae κάθ. MR IV, 199

Ἕτερον.

Ἦχος α'. *Τὸν τάφον σου, σωτήρ,*

Ὡς ἥλιος φαιδρὸς
ἀνατείλασα, πάτερ,
ἡ μνήμη σου πιστῶν
τὰς καρδίας φωτίζει,
τὰ πάθη διώκουσα
καὶ τὸ σκότος ἐξαίρουσα,
ἣν ἐκ πίστεως
εἰλικρινῶς ἐκτελοῦντας
σκέπε, φύλαττε
πειρατηρίων τοῦ βίου
ἡμᾶς, πάτερ Στέφανε.

f. 118 ᾠδὴ δ'. *Ἐν πνεύματι προβλέπων*

Ῥανίσιν ἱερῶν σου
δακρύων ἀρδευθείς,
δένδρον ὤφθης, Στέφανε,
κατάκαρπον, σοφέ,
καρποὺς προσφέρον
τὰς ἀρετὰς τὰς εὐώδεις
καὶ τῶν θαυμάτων
τὰς ἀπείρους ἀναβλύσεις·
ὅθεν εὐσεβῶς σε γεραίρομεν.

Ὡς θεῖος καθορᾶται
παράδεισος, σοφέ,
f. 118v οἶκος || ὁ κατέχων σου
λειψάνων τὴν σορόν,
ἄνθη ποικίλα
προφέρων τὰ τῶν θαυμάτων,

heirm. ἑτέρου καθ. PaR, 9 Post κάθ. leguntur: Δόξ[illegible]ὶ νῦν θεοτ. Ἀνύμφευτε ἁγνή ... MR VI, 101; σταυροθεοτ. Ὁρῶσά σε, Χριστ[illegible]... MR IV, 108; idem κάθ. necnon θεοτ. et σταυροθεοτ. etiam in Pu inven[illegible]s
heirm. δ' EE 11, n. 15, Andreae

62 Matth. 12,33

οἷς αἱ καρδίαι
ἐνηδύνονται τῶν πίστει
Στέφανε, ἀεὶ εὐφημούντων σε.

Πηρώσεις διαλύεις
καὶ παύεις χαλεπὰ
τῶν βροτῶν νοσήματα
εἰς δόξαν τοῦ Χριστοῦ,
παρ' οὗ τὴν χάριν
τὴν τῶν θαυμάτων πλουτήσας
ἐμεγαλύνθης,
ἐλαμπρύνθης, ἐδοξάσθης,
κλέος μοναζόντων, πατὴρ ἡμῶν.

θεοτ. * Ἁγία θεοτόκε,
ἁγίασον ἡμᾶς,
ἡ τὸν ὑπεράγιον
κυήσασα σαρκί,
ὁμοιωθῆναι
θελήσαντα τοῖς ἀνθρώποις
καὶ οὐρανίου
πολιτείας πάντας δεῖξον,
ἄχραντε, μετόχους πρεσβείαις σου.

f. 119 ᾠδὴ ε'. || *Τὴν σὴν εἰρήνην δὸς ἡμῖν*

Μυρίπνοος γενόμενος
ἐνθέοις ἀρεταῖς
ἔβλυσας, σοφέ, μετὰ κοίμησιν
μύρον εὐῶδες, θαυμαζόμενον
ὑπὸ πιστῶν ἀνθρώπων
τῶν πόθῳ σε τιμώντων.

Μεγίσταις ἐπιδείξεσι
θαυμάτων φοβερῶν,
Στέφανε, πανσόφως διέλαμψας

87-95 θεοτ. ETh, 107 94 πολιτείας] βασιλείας ETh
heirm. ε' EE 11, n. 15, Andreae 96 Μυρίπνοος] Πυρίπνοος cdd.

καὶ πρὸ θανάτου, ἀξιάγαστε,
καὶ μετὰ ἐκδημίαν
καὶ ἱερὰν κηδείαν.

Ἁγίως διανύσας σου
τὸν βίον ἐν Χριστῷ,
Στέφανε θεόφρον, πατὴρ ἡμῶν,
μετὰ ἁγίων κατεσκήνωσας
καὶ νῦν καθαγιάζεις
τοὺς πίστει σε τιμῶντας.

θεοτ. * Κυήσασα, πανάμωμε,
Θεὸν Ἐμμανουήλ,
ἄνθρωπον σαφῶς δι' οἶκτον γενόμενον,
τοῦτον δυσώπει ὡς φιλάνθρωπον,
ἁγνή, κατοικτειρῆσαι
λαὸν ἡμαρτηκότα.

f. 119v ᾠδὴ ϛ'. *Τὸν προφήτην Ἰωνᾶν*

Ἀνορθοῖς, πάτερ, χωλούς,
ὀμματίζων τοὺς τυφλούς,
βηματίζειν δὲ ποιεῖς
παραλύτους ἐν Χριστῷ,
διώκεις τε
τῆς πονηρίας πνεύματα, Στέφανε.

Ῥεῖθρον πρόεισιν ἀεὶ
ὡς ἐκ κρήνης καθαρᾶς
τῆς τιμίας σου σοροῦ
ἰαμάτων δαψιλές,
μακάριε,
παθῶν ξηραῖνον πᾶσαν ἐπίρροιαν.

Θαυμαστὸς θαυματουργὸς
καὶ ποιμὴν ἀληθινός,

114-119 θεοτ. ETh, 108
heirm. ϛ' EE 12, n. 15, Andreae

120-121 Matth. 21,14

πάτερ Στέφανε, φανείς,
διαφύλαττε ἀεὶ
τὴν ποίμνην σου,
ἣν συνεστήσω πολλοῖς ἱδρῶσί σου.

θεοτ. Ἐπὶ σὲ ὡς ὑετὸς
ἐπὶ πόκον κατελθών,
θεοτόκε, ὁ σωτὴρ
ἀπεξήρανε σαφῶς
τὰ ῥεύματα
τῆς ἀθεΐας, ἀρδεύσας πάντων ψυχάς.

f. 120 ᾠδὴ ζʹ. *Τοὺς ἐν καμίνῳ παῖδάς σου, σωτὴρ*

Ἱερουργήσας ὥσπερ σεαυτὸν
τοῖς ἄνθραξι
τῆς ἀσκητικῆς διαγωγῆς
ὅλως Χριστοῦ ἐδείχθης, πάτερ, εὐωδία
καὶ πιστῶν τὰ πρόσωπα
εὐωδιάζεις ἀεί,
θαυματουργῶν ὑπὲρ νοῦν.

Ὀρθοδοξίας λάμπων ἀστραπαῖς,
διέλυσας
σκότος τῶν αἱρέσεων, σοφέ·
f. 120ᵛ καί, διωγ‖μοὺς ἔτεσι πλείστοις καρτερήσας,
μάρτυς ἄνευ αἵματος
γέγονας· ὅθεν πιστῶς
ἀνευφημοῦμέν σε.

Ὑπομονὴν κτησάμενος πολλήν,
ἐγκράτειαν,
πίστιν καὶ ἀγάπην ἀληθῆ,
ὤφθης πατὴρ τῶν ὀρφανῶν, χηρῶν προστάτης
συμπαθὴς καὶ μέτριος,
Στέφανε, τῶν μοναστῶν
κλέος καὶ καύχημα.

heirm. ζʹ EE 12, n. 15, Andreae (Τῶν ἐν καμίνῳ παίδων EE)

138-139 Ps. 71,6 158-160 II Petr. 5-7

Σοῦ κατεπλάγη στῖφος δυσμενῶν
τὴν πάννυχον
στάσιν καὶ εὐχῶν ἐπιμονήν,
τὰ δάκρυα, τοὺς στεναγμούς, τὴν πρὸς τὸν κτίστην
ἀληθῆ διάθεσιν,
δι' ὧν καθεῖλες αὐτῶν,
Στέφανε, τὰς μηχανάς.

θεοτ. Πῶς γαλουχεῖς ἀπάτορα υἱόν,
τὸν τρέφοντα
ἅπασαν πνοήν, μῆτερ ἁγνή;
πῶς ἐν χερσὶ τὸν συνοχέα φέρεις πάντων;
ὑπὲρ νοῦν τὸ θαῦμά σου·
ὅθεν ὑμνοῦμεν ἀεὶ τὰ μεγαλεῖά σου.

f. 121 ᾠδὴ ηʹ. *Ὃν φρίττουσιν ἄγγελοι*
καὶ πᾶσαι στρατιαί,
ὡς κτίστην καὶ κύριον
ὑμνεῖτε, ἱερεῖς·
δοξάσατε, παῖδες·
εὐλογεῖτε, λαοί,
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

Ὁσίως τὰ ὅσια,
παμμάκαρ, ἐκτελῶν,
ὁσίοις συντέταξαι
καὶ πᾶσιν ἐκλεκτοῖς,
μεθ' ὧν σε τιμῶμεν
καὶ τὴν λάρνακα
τὴν σὴν προσκυνοῦμεν,
Στέφανε θεοφόρε.

Νοὸς καθαρότητα
κτησάμενος, σοφέ,

heirm. ηʹ EE 12, n. 15, Andreae

τοῦ πνεύματος ἔσοπτρον
γεγένησαι τερπνόν,
τὰς τούτου ἐμφάσεις
εἰσδεχόμενος
καὶ λαοὺς φωτίζων
ταῖς σαῖς διδασκαλίαις.

Ὁρᾶται παράδοξον,
παμμάκαρ, διὰ σοῦ
πανσόφως τελούμενον·
ἐκ μόνης γὰρ τῆς σῆς
τὸ γύναιον θέας
τῆς προσούσης αὐτῷ
νόσου ἀπελύθη,
εὐθέτως βηματίζον.

121v τριαδ. || Ὑμνήσωμεν ἄναρχον
πατέρα καὶ υἱὸν
καὶ πνεῦμα τὸ ἅγιον,
ἀμέριστον ἀρχήν,
ἀΐδιον κράτος,·
τρισυπόστατον
φύσιν, μίαν δόξαν
καὶ μίαν βασιλείαν.

* Σαρκοῦται ὁ ἄσαρκος
ἐκ σοῦ θεοπρεπῶς,
ὃν αἴτησαι, πάναγνε,
τὰ πάθη τῆς ἐμῆς
σαρκὸς θανατῶσαι
εοτ. καὶ ζωῶσαί μου
τὴν νενεκρωμένην
ψυχὴν ταῖς ἁμαρτίαις.

189 τερπνόν] σεπτόν Pu 210-217 θεοτ. MR II, 339 214 σαρκὸς] ψυχῆς MR 215 μου] αὐτὴν MR 216-217 νεκρωθεῖσαν πάλαι / κακίστη ἁμαρτίᾳ MR

188 I Cor. 13,12

f. 122 ᾠδὴ θ'. *Τὴν φωτοφόρον νεφέλην,*
ἐν ᾗ ὁ πάντων δεσπότης
ὡς ὑετὸς ἐξ οὐρανοῦ
ἐπὶ πόκον κατῆλθε
καὶ ἐσαρκώθη δι' ἡμᾶς
γενόμενος ἄνθρωπος,
τὴν ἄχραντον
μεγαλύνωμεν πάντες
ὡς μητέρα τοῦ Θεοῦ ἡμῶν ἀ[illegible]ν.

Ἰχνηλατῶν, θεοφόρε,
τοὺς εὐσεβῶς καὶ ὁσίως
βεβιωκότας ἐπὶ γῆς,
πρᾶος, ἄκακος ὤφθης
καὶ συμπαθὴς καὶ ταπεινὸς
καὶ μέτριος, Στέφανε,
καὶ ἀγάπης
πεπλησμένος τῆς θείας·
διὰ τοῦτο εὐφημοῦμέν σε πιστῶς.

Ὥσπερ ἡδύπνοον μύρον,
ὡς καθαρώτατον κρίνον,
ὡς ῥόδον, πάτερ, εὐθαλὲς
εὐωδίαν ἐκπέμπεις
ἐκ τῆς τιμίας σου σοροῦ
ἀπείρων ἰάσεων,
τὰς δυσώδεις
ἀρρωστίας διώκων
τῶν ἐν πίστει προσιόντων σοι θερμῶς.

Σὲ τὸν ποιμένα τὸν θεῖον
καὶ μιμητὴν τοῦ μεγάλου
καὶ ἀρχιποίμενος Χριστοῦ
δυσωποῦμεν, θεόφρον,
οἱ χρηματίζοντες τῆς σῆς

heirm. θ' EE 14, n. 17, Andreae (7 τὴν ἄχρ[illegible]] ὁ ἄναρχος EE)

221-222 Matth. 11,29

ἀγέλης νῦν θρέμματα
περίσῳζε
πονηρῶν ἡμᾶς λύκων
ταῖς ἁγίαις μεσιτείαις σου ἀεί.

Ἡ παναγία σου μνήμη
καθάπερ ἥλιος μέγας
ἐξανατείλασα φαιδρῶς
καταυγάζει τὴν κτίσιν,
ἣν ἐκτελοῦντες εὐσεβῶς
βοῶμέν σοι, Στέφανε·
« πρεσβείαις σου
f. 122v πάν‖των τὰς διανοίας
καταυγάσας, σκέπε, φύλαττε ἡμᾶς ».

θεοτ. * Φιλαμαρτήμων ὑπάρχων
ἐν ἀμελείᾳ διάγω
καὶ τὸ κριτήριον, ἁγνή,
τὸ ἀδέκαστον τρέμω,
ἐν ᾧ με τήρησον ταῖς σαῖς
ἁγίαις δεήσεσι,
θεόνυμφε,
ἀκατάκριτον, ὅπως
ὡς προστάτιν μακαρίζω σε ἀεί.

254-262 θεοτ. MR II, 340

---

241 Ioh. 4,12; 243 id. 10,12

IN SS. MARCUM ET CYRILLUM

Synaxarium, 565: ..... Πλατύναντος τοῦ χριστιανισ[illegible], Μάρκος ὁ ἐπίσκοπος Ἀρεθουσιῶν εἰδωλικὸν ναὸν καταβαλὼν ἐκκλ[illegible]ίαν ἔκτισεν. Ἐπεὶ δὲ ... Ἰουλιανὸς ὁ ἀποστάτης ... τῆς βασιλείας [illegible]ράτησεν ... οἱ εἰδωλολάτραι ἐζήτουν τὸν ἅγιον Μάρκον διὰ τὴν παρ' αὐτο[illegible] τολμηθεῖσαν καθαίρεσιν τοῦ ναοῦ. Ὁ δὲ..... τοῖς μιαιφρόνοις προύδ[illegible] ἑαυτόν. Οἱ δὲ λαβόντες καὶ γυμνώσαντες καὶ σχοινίοις τοὺς πόδας δ[illegible]ντες, ἔσυρον ἐπὶ τὴν γῆν τύπτοντες καὶ εἰς ὑπονόμους ἐμβάλλοντες [illegible]ώδεις. Εἶτα ἐξαγαγόντες καὶ μέλιτι καὶ γάρῳ χρίσαντες ἐκρέμασαν..... πρὸς τὸ βρωθῆναι ὑπὸ μελισσῶν καὶ σφηκῶν..... Ὡς δὲ ἐπεζήτουν [illegible]τὸν χρήματα εἰς ἀνοικοδομὴν τοῦ καταβληθέντος ναοῦ, ἔφησεν ὅτι· « [illegible] ὀβολὸν ἕνα καταβαλῶ ὑμῖν ἕνεκεν τούτου »· ἰδόντες αὐτὸν ἀνένδοτον [illegible]α, μεταβληθέντες ἀπέλυσαν τῆς τιμωρίας καὶ τοῦ λοιποῦ εἶχον αὐτὸν ὡ[illegible]δάσκαλον...

Καλὸν ἂν εἴη..... καὶ τὸ ἐν Φοινίκῃ τολμηθὲν κατ[illegible]υρίλλου τοῦ λευίτου διεξελθεῖν. Ἐπεὶ δὲ καὶ αὐτὸς ἦν κατὰ τὸν καιρ[illegible]οῦ μεγάλου Κωνσταντίνου, πάμπολλα τῶν εἰδώλων συνέτριψε· τὴν γὰρ [illegible]στέρα αὐτοῦ διαρρήξαντες τὸ ἧπαρ αὐτοῦ κατέφαγον καὶ αἵματος ὡς κύν[illegible]περρόφησαν. Καὶ παραυτίκα ἔπεσον οἱ ὀδόντες καὶ αἱ γλῶσσαι αὐτῶν [illegible]πησαν ⟨καὶ⟩ οἱ ὀφθαλμοὶ αὐτῶν ἐτυφλώθησαν. Ὁ δὲ μάρτυς τελειωθεὶς [illegible]ῆλθε χαίρων ἐν τοῖς οὐρανοῖς.....

Paris. gr. 13	—	Q, ff. 289v-290
Paris. gr. 1563	—	Pb, ff. 123-126
Vallic. gr. E 54	—	Ea, ff. 152v-154
Reg. gr. 61	—	Lo, ff. 30-31v
Paris. gr. 1575	—	Pv, ff. 28v-29v

Ὁ κανών, οὗ ἡ ἀκροστιχίς·
Μάρκον γεραίρω καὶ Κύριλλον ἐνθέως. Ἰω[illegible].

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ἡ κεκομμένη τὴν ἄτομον ἔτεμε*

Μετὰ ἀγγέλων Θεῷ παριστάμενοι
τῷ ποιητῇ τοῦ παντός,

---

tit. Εἰς τὸν ὄρθρον ὁ κανών, οὗ ἡ ἀκροστιχίς· Μάρκον γερ[illegible] ... Q
heirm. α' EE 220, n. 316, Joannis; Pb heirm. in[illegible]um praebet
2 ποιητῇ] βασιλεῖ omnes cdd. excepte Q

μάρτυρες πανόλβιοι,
αἰτήσασθαι ἡμῖν πταισμάτων ἀπολύτρωσιν
τοῖς πόθῳ μακαρίζουσιν ὑμᾶς
καὶ ἐν αἰνέσει ψάλλουσι·
« τῷ κυρίῳ ᾄσωμεν·
ἐνδόξως γὰρ δεδόξασται ».

Ἀρχιερέα τὸ πνεῦμα τὸ ἅγιον
σὲ προεβάλετο,
Μάρκε, περιούσιον
ποιμαίνοντα λαὸν ἐν πάσῃ ὁσιότητι
δογμάτων βακτηρίᾳ λογικῇ,
μεθ' ὧν, παμμάκαρ, ἔμελπες·
« τῷ κυρίῳ ᾄσωμεν·
ἐνδόξως γὰρ δεδόξασται ».

Ῥείθροις αἱμάτων πυρὰν κατεσβέσατε
πολυθεΐας, σοφοί,
χαίροντες ἠθλήσατε
ἑλλήνων τοὺς σοφοὺς τελείως καταισχύναντες
καὶ νῦν μετὰ μαρτύρων τῷ Χριστῷ
παρίστασθε κραυγάζοντες·
« τῷ κυρίῳ ᾄσωμεν·
ἐνδόξως γὰρ δεδόξασται ».

θεοτ. Κόρης ἀφθόρου Θεὸς σεσωμάτωται,
ὃν ἀσωμάτων χοροὶ
τρέμοντες δοξάζουσιν,
ὡς πάντων ποιητὴν καὶ μόνον ἀναλλοίωτον
καὶ ἄνθρωποι ἐν γῇ διηνεκῶς
ὑμνοῦσιν ἀναμέλποντες·
« τῷ κυρίῳ ᾄσωμεν·
ἐνδόξως γὰρ δεδόξασται ».

7-8, 15-16, 23-24 cdd. varie recidunt orationem 17 κατασβέσαντες Ea Lo Pv

ᾠδὴ γ'. *Τὸν φόβον σου, κύριε, ἐμφύτευσον*

Οὐκ ἔνειμας σέβας ἀλογώτατον
τοῖς ξοάνοις, πανόλβιε,
ἀλλ' ὑπέμεινας στερρότατα
βασάνους πολυτρόπους,
μάκαρ γενναιόφρον.

Νοὸς γενναιότητι ὑπήνεγκας,
παναοίδιμε Κύριλλε,
παροινίας τε καὶ βάσανα
ἀνδρῶν παρανομούντων,
μάρτυς ἀθλοφόρε.

Γυμνούμενοι, μάρτυρες πολύαθλοι,
καὶ αἰκίαις συντριβόμενοι,
ἀπερίτρεπτοι ἐμείνατε
τῆς τοῦ Χριστοῦ ἀγάπης
οὐδὲν προτιμῶντες.

θεοτ. Ἐκ σοῦ ἀνατέταλκε, πανάμωμε,
καταυγάζων τὴν ὑφήλιον
παραδόξοις ἐπιλάμψεσιν
ὁ τῆς δικαιοσύνης
ἥλιος, παρθένε.

Κάθισμα.

Ἦχος δ'. *Ἐπεφάνης σήμερον*

Λαμπρυνθέντες χάριτι καὶ ἀληθείᾳ
....

heirm. γ' EE 220, n. 316, Joannis; Pb heirm. integrum pr[illegible]et 37 μάκαρ] μάρκε Lo 47 οὐδὲν] μηδὲν Pb

κάθ. Anth., με'; κάθ. om. Ea Lo. Post κάθ. Pb tradit: [illegible]α καὶ νῦν. – θεοτ. Τὰς ἀχράντους χεῖράς σου ... MR V, 289, – σταυροθεοτ. [illegible]ὶ ξύλου βλέπουσα ... MR I,40; (Pq, cfr. commentarium, post odem γ' [illegible]rt: κάθισμα· ἦχος δ'. *Ταχὺ προκατάλαβε* Ὁσίως βιώσαντες τελειοτάτῳ νοΐ / στερ[illegible] ἐνηθλήσατε / καὶ τὰς τοῦ σκότους / ἀρχὰς παρεδειγματίσατε, / μάρτυρες, καὶ πρὸς φέ[illegible] / μετετέθητε θεῖον· / ὅθεν ἐπιτελοῦμεν / τὴν σεπτὴν ὑμῶν μνήμην / αἰτούμενοι [illegible]εῖν δι' ὑμῶν / χάριν καὶ ἔλεος.)

46 Rom. 8,39

ᾠδὴ δʹ. *Ἐξ ὄρους κατασκίου, Λόγε, ὁ προφήτης*
τῆς μόνης θεοτόκου μέλλοντος σαρκοῦσθαι
θεοπτικῶς κατενόησε καὶ ἐν φόβῳ
ἐδοξολόγει σου τὴν δύναμιν.

Ῥεῦσαν ἐπὶ γῆς τὸ αἷμά σου, θεόφρον,
ταύτην ἀληθῶς ἡγίασεν ἀξίως
καὶ τὰς ψυχὰς καταρδεῦσαν τῶν εὐσεβούντων
πρὸς ζῆλον ἔνθεον διήγειρεν.

Αἴγλῃ νοητῇ σαφῶς λελαμπρυσμένοι
νύκτα πονηρὰν ἀθέου δυσφημίας
ἀπεμειώσατε, μάρτυρες, παραδόξως,
Μάρκε καὶ Κύριλλε πανόλβιοι.

Ἴασαι ἡμῶν τὰς νόσους, εὐεργέτα,
Μάρκου προσευχαῖς, Κυρίλλου τε τοῦ θείου
καὶ τὰ ἐλέη σου, εὔσπλαγχνε, ἐπὶ πάντας
τοὺς ἀνυμνοῦντάς σε κατάπεμψον.

Ῥώμῃ θεϊκῇ καὶ χάριτι τοῦ λόγου,
μάρτυρες Χριστοῦ, τεμένη τῶν εἰδώλων
καταβαλόντες, τοῦ πνεύματος τοῦ ἁγίου
ναὸς ἐν πίστει ἀνεδείχθητε.

θεοτ. Ὤφθης τοῦ Θεοῦ εὐρύχωρον χωρίον,
θρόνος ὑψηλὸς καὶ πύλη, θεοτόκε,
δι' ἧς διῆλθεν ἀρρήτῳ κυοφορίᾳ
φθορᾶς ἡμᾶς ἀνακαλούμενος.

heirm. δʹ EE 224, n. 321, Joannis 3 φόβῳ] τρόμῳ EE; heirm. Pb integrum praebet 55 καταρδεῦον Pb Pv 69-72 θεοτ. om. Lo

67-68 I Cor. 6,19

ᾠδὴ εʹ. *Ὁ ἐκ νυκτὸς ἀγνοίας*
θεογνωσίᾳ φαιδρύνας τὰ σύμπαν[illegible]
φώτισόν με τῷ ὄρθρῳ
τῆς δοξολογίας σου, κύριε.

Κοσμοφανεῖς φωστῆρες,
ἱερομάρτυρες θεῖοι, γενόμενοι,
πάντας φωταγωγεῖτε
θείαις φρυκτωρίαις τοῦ πνεύματος.

Ἀποσκοπῶν, παμμάκαρ,
τὰς ἀντιδόσεις τὰς θείας, ὑπέφερες,
Μάρκε, τὰς ἀνυποίστους
μάστιγας καὶ πόνους στερρότατα.

Ἱερουργὸς ὑπάρχων
καὶ ἀναιμάκτους θυσίας προσφέρων Χριστῷ,
θῦμα, Μάρκε, εὐῶδες
σεαυτὸν κυρίῳ προσήνεγκες.

θεοτ. Κυοφορίᾳ ξένῃ
τὸν βασιλέα τῶν ὅλων ἐκύησας,
ἄχραντε θεοτόκε,
ἐπ' εὐεργεσίᾳ τῆς κτίσεως.

ᾠδὴ ϛʹ. *Τὸν Ἰωνᾶν ἐν τῷ κήτει, κύριε,*

Ὑπενεγκὼν βάσανα πολύπλοκα
καὶ θάνατον τὸν πρόξενον,

heirm. εʹ EE 226, n. 323, Germani 2 θεογνωσίας [illegible] Pb, σύμπαντα] πέρατα EE Pb 3 τῷ ὄρθρῳ] πρὸς ὕμνον Pb 4 τῆς δοξολογίας] τῆς φιλανθρωπίας EE καὶ δοξολογίαν Pb 73 φωστῆρες] ἀστέρες [illegible] 82 ἀναιμάκτου Lo, προσάγων Lo, 83 Μάρκε] μάκαρ Pb Ea [illegible] ἑαυτὸν Lo
heirm. ϛʹ EE 240, n. 343, Eliae; Pb heirm. integr[illegible] tradit Τὸν Ἰωνᾶν / ἐν τῷ κήτει, Κύριε, / μονώτατον κατῴκισας, / ἐμὲ δὲ τὸν πεπ[illegible]μένον / ἐν ἄρχουσι τοῦ ἐχθροῦ / ὡς ἐκ φθορᾶς ἐκεῖνον διάσωσον. 88 κτίσεως] [illegible]τεως Ea

θεόφρον, δόξης ἀϊδίου,
χορεύεις ἐν οὐρανοῖς
ὑπὲρ ἡμῶν, Κύριλλε, δεόμενος.

Ῥῆμα Θεοῦ ζῶν ἐν τῇ καρδίᾳ σου
ὡς ἔχων, μάκαρ ἔνδοξε,
πρὸς πίστιν θείαν ἐφελκύσω
λαοὺς καὶ δήμους, σοφέ,
καὶ εὐκλεῶς τὸν δρόμον ἐτέλεσας.

Ἱερουργοὶ καὶ θύματα τέλεια
κυρίῳ προσηνέχθητε
βασάνοις ὁλοκαυτωθέντες
καὶ ἐν ὑψίστοις φαιδροὶ
τῷ βασιλεῖ τῶν ὅλων παρίστασθε.

θεοτ. Λύσιν ἡμῖν ὀφλημάτων αἴτησαι
καὶ βίου τὴν διόρθωσιν,
παρθένε, τοῖς ὑμνολογοῦσι
τὰ μεγαλεῖά σου
καὶ εὐσεβεῖ γνώμῃ σε δοξάζουσιν.

f. 290 ‖ ᾠδὴ ζ'. *Οἱ ἐκ τῆς Ἰουδαίας*

Λαμπρυνθέντες τῇ αἴγλῃ
τῆς ἁγίας Τριάδος, θεομακάριστοι,
τὸ σκότος τῆς ἀπάτης
ἠλάσατε καὶ δόξης
μελῳδοῦντες ἐτύχετε·
« ὁ τῶν πατέρων ἡμῶν
Θεός, εὐλογητὸς εἶ ».

95 μάκαρ] μάρκε Pb 96 ἐφειλκύσω Pb 107 σου] τὰ σὰ Pb 108 σε] τε Lo Post odem ς' cdd. proferunt: Τὸ μαρτυρικὸν εἶτα τὸ συναξάριον (synax. ss. Marci et Cyrilli) Ω – κάθισμα· ἦχος δ'. inc. Λαμπρυνθέντες χάριτι ... (cfr. p. 303) Τῷ αὐτῷ μηνὶ κθ'. μνήμη ... μάρκου ... καὶ κυρίλλου διακόνου καὶ ἑτέρων πολλῶν τῶν ἐπὶ ἰουλιανοῦ τοῦ μισοχρίστου ὑπὸ τῶν εἰδωλολατρῶν παθόντων καὶ μαρτυρησάντων Pv, cfr. commentarium.

heirm. ζ' EE 224, n. 321, Joannis 114-115, 121-122, 128-129, 135-136 cdd. varie abrumpunt orationem

Οἱ τὰ κάτω λιπόντες
καὶ τῶν ἄνω τὴν κτῆσιν οἰκειωσάμενοι
Μάρκος ὁ θεοφόρος
καὶ Κύριλλος ὁ θεῖος
μελῳδίαις τιμάσθωσαν·
« ὁ τῶν πατέρων ἡμῶν
Θεός, εὐλογητὸς εἶ ».

Νυσταγμὸν ἀμελείας
ἐν καιρῷ τῶν ἀγώνων ἀποκρουσάμενοι
ἠνύσατε τὸν δρόμον
καὶ δήμοις ἀθλοφόρων
μελῳδοῦντες ἡνώθητε·
« ὁ τῶν πατέρων ἡμῶν
Θεός, εὐλογητὸς εἶ ».

θεοτ. Ἐκ σοῦ ἡ σωτηρία
ὑπὲρ νοῦν τε καὶ λόγον, παρθένε, ἔλαμψε
τοῖς σκότει καθημένοις
θανάτου καὶ βοῶντας
οὐρανίους εἰργάσατο·
« ὁ τῶν πατέρων ἡμῶν
Θεός, εὐλογητὸς εἶ ».

ᾠδὴ η'. *Νικηταὶ τυράννου*

Νικηταὶ τυράννου
ἀπηνῶς δικάζοντος ἀναδειχθέντες,
ἀφθαρσίας στέφος,

116 τὰ] τὰς Lo 117 κτίσιν Pb Pv Ea 118 ὁ θεοφόρος] μάρκος Pb Pv 120 μελωδοῦντες Pb Pv 123 νυσταγμῶ Ea

heirm. η' EE 221, n. 316, Joannis, Pb heirm. integrum tradit 138 ἀποδειχθέντες Pb Pv

116-117 Col. 3,2; 132 Matth. 4,16

μάρτυρες, ἐλάβετε ἀναβοῶντες·
« εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας ».

Θυρεῷ ἀγάπης,
ἀθληταί, καὶ πίστεως καθωπλισμένοι,
ἐχθροῦ παρατάξεις
ξίφει συνεκόψατε θείας ἀνδρείας·
« εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον
καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας ».

Ἐπὶ γῆς ἀθλοῦντες,
ἐν ὑψίστοις, ἅγιοι, δικαιοσύνης
στέφος ἐκ παλάμης
τοῦ Χριστοῦ εἰλήφατε ἀναβοῶντες·
« εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον
καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας ».

τριαδ. Ὡς μονάδα φύσει,
ὡς Τριάδα σέβω σε τοῖς χαρακτῆρσι,
πάτερ παντοκράτορ
καὶ υἱὲ καὶ ἅγιον πνεῦμα, κραυγάζων·
« εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας ».

θεοτ. Στάμνον σε τοῦ μάννα
τῆς ζωῆς κηρύττομεν, εὐλογημένη,
τράπεζαν καὶ ῥάβδον
καὶ θυσιαστήριον, χρυσῆν λυχνίαν,
ὄρος τε καὶ πύλην καὶ βάτον σε ἄφλεκτον,
θρόνον τοῦ ὑψίστου καὶ κόσμου σωτηρίαν.

141-142, 147-148, 153-154, 159-160 codd. varie recidunt orationem
164 θυσιαστήριον] θυμιατήριον Pb 165 καὶ βάτον σε ἄφλεκτον] βάτον ἀκατάφλεκτον Pb Pv Lo

143-144 Eph. 6,16; 161-164 Hebr. 9,25

ᾠδὴ θ'. Ἔφριξε πᾶσα ἀκοή

Ἴχνεσι, μάρτυρες Χριστοῦ,
τοῦ παθόντος καὶ τὰ πάθη μειώσαντος
ἀκολουθήσαντες,
πολλῶν μαστίγων πεῖραν ἐλάβετε
καὶ στηλιτεύσαντες ἐχθρῶν
ἀθέων σεβάσματα
ἐμεγαλύνθητε
καὶ ἀγγέλοις προφανῶς ὡμοιώθητε.

Ὤφθητε ἄνθρακες πυρὶ
ὁμιλήσαντες τῷ θείῳ, πανόλβιοι,
καὶ κατεφλέξατε
πολυθεΐας ὕλην ἐν χάριτι
καὶ πρὸς τὸ φῶς τὸ νοητὸν
χαίροντες μετέβητε,
θεομακάριστοι,
κραυγάζοντες ἡμῶν τὰ νοήματα.

Στήσαντες πέτρᾳ νοητῇ
τῶν ψυχῶν ὑμῶν τὰς βάσεις, μακάριοι,
οὐκ ἐσαλεύθητε
πολλῶν βασάνων ταῖς ἐπελεύσεσιν·
ὅθεν στηρίζετε ἡμῶν
ἀεὶ τὰ φρονήματα,
ταῖς μεθοδείαις ἐχθροῦ
σαλευόμενα, καλλίνικοι μάρτυρες.

Ἤρθητε πρὸς περιφανῆ
μαρτυρίου, ἀθλοφόροι, ἀκρώρειαν,
πρὸς ὕψος μέγιστον
καὶ βασιλείαν Θεοῦ ἀσάλευτον

heirm. θ' EE 222, n. 317, Joannis 168 ἀγγέλων Lo 177 κατεφλέξατε] κατεπαύσατε Ea 182 ὑμῶν Lo 186 ἐπελεύσεσιν] ἐ[illegible]σεσιν Pb Lo 187 στηρίξατε Lo 188 v. om. Lo 189 ταῖς μεθοδεία[illegible]ῦ ἐχθροῦ Pb

167-169 I Petr. 2,21; 175 Rom. 12,20; 183-186 Luc. 6,[illegible]

κατηξιώθητε λαβεῖν,
Μάρκε ἱερώτατε,
Κύριλλε ἔνδοξε,
ἧς τυχεῖν πάντας ἡμᾶς ἱκετεύσατε.

θεοτ. * Φέγγει σου, κόρη, νοητῷ
φωταγώγησον ἡμῶν τὰ νοήματα,
θεοχαρίτωτε,
καὶ τὰς καρδίας καὶ τὰ φρονήματα,
ὅπως τὰς τρίβους τῆς ζωῆς
ὀρθῶς βηματίζοντες
ἐλέους τύχωμεν,
καταγγέλλοντες ἀεὶ τὰς αἰνέσεις σου.

199-206 θεοτ. PID ροθ'   201-202 om. Q

IN SANCTUM EUSTATHIUM

Synaxarium, 570: Οὗτος ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν ... ὁμολογητὴς Εὐστάθιος τὸν κόσμον ὥσπερ βαρὺ φορτίον ἐξ ἑαυτοῦ ἀπ... μενος γέγονε μοναχός..... Ψήφῳ δὲ Θεοῦ ἀρχιεπίσκοπος Κίου γεγον... ἐκυβέρνα τὴν ἐκκλησίαν τοῦ Θεοῦ ἐπὶ χρόνους ἱκανούς..... Τοῦτόν τινες ... ῶν θεομάχων τῷ τότε δυσσεβῶς βασιλεύοντι καταμηνύσαντες, τί δεῖ κατ... γειν ἀπειλάς, ἐμπτυσμούς, φραγγελώσεις; Τελευταῖον δὲ πάντων ῥο... λοις ἀφειδῶς αὐτὸν τύψαντες διὰ τὴν προσκύνησιν καὶ τιμὴν τῶν ἁγί... καὶ σεπτῶν εἰκόνων ἐξόριστον τῆς ἐπισκοπῆς πεποιήκασι. Καὶ οὕτω... ν ἐξορίᾳ ἐπὶ χρόνους τινὰς διαρκέσας, θλιβόμενος, ὑστερούμενος, κα... χούμενος ἐν πείνῃ καὶ δίψῃ καὶ γυμνότητι, τῷ Θεῷ εὐχαριστῶν ἀπέστ... πρὸς τὰς αἰωνίους μονάς.

Crypt. Δ.α. XVII = Ck, ff. 104ᵛ-106
Crypt. Δ.α. VII = Db, ff. 130-132ᵛ
Vat. gr. 2008 = Vm, ff. 124-125
Vat. gr. 2069 = Vb, ff. 164-165ᵛ

Ὁ κανών.

Ἦχος γ'.

⟨Ἐν τοῖς θεοτοκίοις· Κλήμεντος⟩

ᾠδὴ α'. *Τῷ ῥυσαμένῳ τὸν Ἰσραὴλ ἐκ δου...*

Τὸ εὐσταθὲς τῆς ἐκκλησίας καύχημα
εὐφημείσθω δόγμασιν ὀρθοδοξίας,
Εὐστάθιος ὁ φαιδρότατος ποιμήν,
ὁμολογίᾳ τῆς πίστεως ἀστράψας.

Χρίσματι θείῳ τὴν Χριστοῦ ἐκκλησίαν
στέφει νυμφευσάμενος ἱερωσύνης,

tit. ὁ κανὼν et in margine φέρων ἀκροστιχίδα ἐν τοῖς θεο...οις κλήμεντος in Ck posterior manus scripsit
heirm. α' EE 78, n. 110, Germani   6 στέφη Ck

συμβόλαια ὀρθοδόξων δογμάτων
ὡς ἀναφαίρετον προῖκα ὑπεγράψω.

τριαδ. Ὡς μυστιπόλος τῆς ἁγίας Τριάδος
καὶ τῆς Χριστοῦ σαρκώσεως ἐκφάντωρ μέγας,
Εὐστάθιε, ἱερώτατε ποιμήν,
Χριστοῦ τὸ εἶδος ἐκήρυξας τιμᾶσθαι.

θεοτ. Καταφύγιον τῶν ἐπὶ σοὶ προστρεχόντων
καὶ θερμὴ ἀντίληψις, θεοκυῆτορ,
ἐδείχθης, εὐλογημένη Μαριάμ,
τῶν προσκυνούντων τὸ εἶδος τῆς μορφῆς σου.

ᾠδὴ β'. *Πρόσεχε, γῆ καὶ οὐρανέ,*
καὶ ἐνωτίζου τὰ ῥήματά μου

Τὸν τῆς ἀσκήσεως ζυγὸν
προθύμως εἵλω, Εὐστάθιε σοφέ,
τὴν κοσμικὴν βιοτὴν
ἀποταξάμενος.

Τοὺς αἱρετίζοντας δεινῶς
ὡς ἐκκηρύκτους τῆς πίστεως, σοφέ,
ἐδίωξας ἐμφανῶς
τῆς ἐκκλησίας Χριστοῦ.

Ὡς θεομίμητος ποιμὴν
σαφῶς προέθου, Εὐστάθιε σοφέ,
εἰς θάνατον τὴν ψυχὴν
ὑπὲρ τῆς ποίμνης σου.

θεοτ. Λύτρωσιν τέτοκας ἡμῖν
Θεὸν τῶν ὅλων ἀνθρωπισθέντα,
οὗ πίστει θεοπρεπῶς
τὸ εἶδος σέβομεν.

7 σύμβολα Vm 8 ὑπεγράψατο Vb
heirm. β' EE 79, n. 112, Germani

ᾠδὴ γ'. *Στερέωσον, κύριε,*
τὰς καρδίας ἡμῶν

Ὡς πόλιν σε ἔγνωμεν
ἐν τῇ πίστει Χριστοῦ,
ἐκλάμποντα,
ἐπὶ ὄρους κειμένην·
οὐ γὰρ ἐκρύβη σου, σοφέ,
τῶν δογμάτων ἡ χάρις.

f. 105 ‖ Κηρύττει σου, ὅσιε,
ἡ ἐκκλησία πιστῶς
τὸ σταθερὸν
πρὸς τὴν πίστιν τοῦ Χριστοῦ,
δι' οὗ ἐπάτησας στερρῶς
τῶν αἱρέσεων κέρας.

θεοτ. Ἡ χάρις σου, δέσποινα,
περισῴζει ἀεὶ
τοὺς ὀρθοδόξους,
τιμῶντας εὐσεβῶς
τῆς ἐμφερείας σου πιστῶς
τὴν μορφήν, θεοτόκε.

ᾠδὴ δ'. *Εἰσακήκοα, κύριε,*
τὴν ἀκοήν σου καὶ ἐφοβήθην,
κατενόησα τὰ ἔργα σου
καὶ ἐδόξασά σε,
⟨— — —⟩ φιλάνθρωπε.

Ἐν τῇ πίστει διήλεγξας
τῇ ὀρθοδόξῳ, θεόφρον πάτερ,

heirm. γ' EE 75, n. 107, Andreae heirm. γ' in [illegible]m traditur: Στερέωσον, κύριε, / τὰς καρδίας ἡμῶν / καὶ φώτισον / εἰς τὴν σὴν ὑμ[illegible]ίαν τοῦ δοξάζειν σε ἀεὶ / εἰς αἰῶνα αἰῶνος (ἀεὶ] Σωτήρ EE εἰς αἰῶνας αἰώνων [illegible])
heirm. δ' EE 79, n. 112, Germani (1 ἀκήκοα EE 5 [illegible] syllabae desiderantur)

33-38 Matth. 5,14

βασιλεῖς καὶ ἱερεῖς ὁμοῦ
πάντα συμπατήσαντας
τὰ εὐσεβῆ δόγματα.

Ὥσπερ λέων ἀπτόητος
ἐν μέσῳ ἔστης τοῦ συνεδρίου
τῶν αἱρέσεων, Εὐστάθιε,
τὴν ὀρθοδοξίαν βοῶν
ὡς δίκαιος ἀληθῶς.

Ἱερέων καλλώπισμα
καὶ μοναζόντων κανὼν καὶ τύπος,
ὀρθοδόξων ἀγαλλίαμα
ἐν τῇ ἐκκλησίᾳ Χριστοῦ
ὤφθης, Εὐστάθιε.

θεοτ. Μυστικῶς σε δοξάζομεν,
εὐλογημένη θεοκυῆτορ,
καὶ τοῖς πράγμασι δεικνύομεν,
ὡς ἐν ἀληθείᾳ Θεὸν
ἐκυοφόρησας.

ᾠδὴ ε'. *Ὀρθρίζοντες*
ἀνυμνοῦμέν σε, Λόγε,

Ἐπάτησας
αἱρετικῶν τοὺς αὐχένας
ὀρθοδοξίας τοῖς ποσὶ
καὶ ἐγύμνωσας αὐτοὺς
ἱερωσύνης τῆς στολῆς,
καὶ ἐδίωξας
τῆς Χριστοῦ ἐκκλησίας.

54-55 πάντων συμπατησάντων / τῆς πλάνης τὰ δόγματα Ck   πάντας συμπατήσαντας / τῆς πλάνης τὰ δόγματα Db   πάντα συμπατήσας τε / τὰ ἀσεβῆ δόγματα Vm
64 ἐν om. Db Vm Vb

heirm. ε' EE 78, n. 110, Germani; dissimilem heirm. Db Vm tradunt: Ὀρθρίζοντες / ἀνυμνοῦμέν σε, Λόγε, / υἱὲ Θεοῦ μονογενές, / τὴν σὴν εἰρήνην δὸς ἡμῖν / καὶ ἐλέησον ἡμᾶς / διὰ τῆς θεοτόκου / τοὺς σὲ δοξολογοῦντας. (μονογενῆ Db Vm διὰ τῆς θεοτόκου / τοὺς σὲ δοξολογοῦντας] τοὺς ἀνυμνοῦντάς σε / καὶ πιστῶς προσκυνοῦντας EE)

---

57 Act. 5,27

Τῷ τοῦ Χριστοῦ
παριστάμενος θρόνῳ
ὡς ἱερεὺς ἀληθινός,
σὺν τῷ θείῳ καὶ σεπτῷ
τῶν ὁμοζήλων σου χορῷ
ὑπὲρ τῆς ποίμνης σου
νῦν δεήθητι, μάκαρ.

θεοτ. Ἐν δόγμασιν
ἀνυμνοῦμέν σε πάντες
ὀρθοδοξίας εὐσεβῶς,
θεοτόκε ἀγαθή,
καὶ ἐν συμβόλοις αἰσθητοῖς
ἔργῳ καὶ λόγῳ σε
μυστικῶς εὐφημοῦμεν.

ᾠδὴ ς'. *Τοὺς εἰς τὰ τέλη τῶν αἰώνων*

Τοὺς καπηλεύοντας τὸν λόγον
ἐν αἱρέσει τὸν τῆς πίστεως,
ὡς ἱερεὺς ἀληθινὸς
τῆς Χριστοῦ ὀρθοδοξίας, σοφέ,
ὡς ἱεροκαπήλους
μετὰ στερρᾶς
διήλεγξας εὐσεβῶς παρρησίας.

Τοὺς ἀπερίγραπτον τὴν σάρκα
τοῦ Χριστοῦ καὶ ἀσχημάτιστον
φανταζομένους δυσσεβῶς,
f. 105v ὡς τοῦ ‖ Μάνεντος συμμύστας, σοφέ,
κατήσχυνας, παμμάκαρ,
ταύτης πιστῶς
δοξάζων τὸ ἐμφανὲς ἐν εἰκόνι.

θεοτ. Νενεκρωμένον με, πανάμωμε,
ἐξανάστησον πρὸς φῶς, ἀγαθή,

---

heirm. ς' EE 78, n. 110, Germani   104 ταῦτα Ck

92 II Cor. 2,17

καὶ πρὸς τὸ θέλημα τὸ σὸν
χειραγώγησον, πανύμνητε·
σὺ γὰρ εἶ ἡ ἐλπίς μου
καὶ κραταιὰ
ἀντίληψις καὶ λιμήν, θεοτόκε.

Κάθισμα.

Ἦχος βαρύς. *Οἱ ἅγιοί σου, κύριε*

Ὁ μέγας ἐν ταῖς πράξεσιν
καὶ τίμιος Εὐστάθιος
τοὺς ἀθέους τροπωσάμενος
τῇ δυνάμει τοῦ πνεύματος,
διὸ καὶ μεγαλύνας ὁ σωτὴρ ἀντεδόξασεν
τῶν φιλοχρίστων πατέρα
καὶ ἱερὸν ἐν ἱεροῖς,
αἴτησαι Χριστῷ
δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

ᾠδὴ ζʹ. *Τρεῖς παῖδες ἐν καμίνῳ*

Ἀλήθειαν πρεσβεύων,
προσκυνεῖσθαι ἐθέσπισας
τοῦ κυρίου τὴν εἰκόνα, παμμακάριστε,
καὶ τῆς αἱρέσεως ψεῦδος
ἐν παρρησίᾳ θεϊκῇ
κατεπάτησας.

Ἐν πνεύματι ἁγίῳ
τῶν ἑπτὰ σὺ ἀνέφηνας

110 ἡ om. Ck Db
heirm. καθ. PaR, 563; in Db hoc κάθ. invenimus Ἦχος πλ. βʹ. *Ἐν τῷ ναῷ ἑστῶτες τῆς δόξης* Ἐν οὐρανοῖς Χριστῷ παριστάμενος / ἱεραρχῶν σὺν τάξεσιν, ἅγιε, / τοὺς πιστῶς ὑμνοῦντάς σε πρεσβείαις σου / ῥῦσαι πειρασμῶν, / κινδύνων καὶ θλίψεων. (οὐρανοῖς] οὐρανίοις Vb); idem. κάθ. Vm ante canonem et Vb post odem γʹ praebent
heirm. ζʹ EE 79, n. 111, Germani 116 καὶ] τὸ Ck Vb

ἀρχιερέων καὶ ποιμένων, ἱερώτατε,
ἐν παρρησίᾳ ἁγίᾳ
πᾶσαν τὴν αἵρεσιν στερρῶς
ἀπογυμνώσας, σοφέ.

Ὡς κήρυκες τοῦ Λόγου
καὶ τῆς πίστεως πρόμαχοι,
ἀρχιερέων καὶ ποιμένων θεῖοι πρόβολοι,
σὺν Εὐσταθίῳ τῷ πάνυ
νῦν ἱκετεύσατε Χριστῷ
εἰς τὸ σωθῆναι ἡμᾶς.

θεοτ. Τὸν ἄφραστόν σου τόκον,
θεοτόκε, δοξάζομεν,
ὃν ὑμνεῖ τὰ Χερουβὶμ καὶ εὐλογεῖ τὰ Σεραφ[illegible]
καὶ ἀμφοῖν καταγγέλλει
ἡ ἐκκλησία ἐναργῶς
ἔργῳ καὶ λόγῳ πιστῶς.

ᾠδὴ ηʹ. *Τὸν ἐξ ἀνάρχου τοῦ πατρὸς*

Τῶν ἁλιέων μελετῶν
τὰ σοφὰ καὶ θεῖα δόγματα,
ὀρθοδοξίας πίστιν συνεγράψω,
πάνσοφε Εὐστάθιε·
τῶν γραμματέων φωνὰς
καὶ Ἰσαύρων ἀπειλὰς
καθεῖλες ἐν κυρίῳ,
πίστει τὴν εἰκόνα
Χριστοῦ δοξάζων, πάτερ.

Ὡς ἀθετήσαντας Χριστοῦ
τὸν σταυρὸν καὶ τὴν εἰκόνα ὁμοῦ
καὶ προσδραμόντας αἱρέσεων πλάνη,
ἤλεγξας, Εὐστάθιε,

123 στερρῶς] σαφῶς Db Vb 129 χριστὸν Db Vm V[illegible]
heirm. ηʹ EE 79, n. 111, Germani; eumdem heirm. a[illegible] Vm his vv. tradit Τὸν ἐξ ἀνάρχου τοῦ πατρὸς / γεννηθέντα υἱὸν[1] καὶ Θεὸν / καὶ ἐ[illegible]χάτων / ἐκ τῆς θεοτόκου / σάρκα ἐνδυσάμενον / ὡς τέλειον ἄνθρωπον / καὶ Θεὸν ἐ[illegible]εοῦ[2] / ὑμνεῖτε, εὐλογεῖτε / καὶ ὑπερυψοῦτε / αὐτὸν εἰς τοὺς αἰῶνας. ([1] υἱὸν καὶ] [illegible]ρὸ αἰώνων EE [2] ἐκ Θεοῦ] ἀληθινὸν EE) 147 ὁμοῦ] αὐτοῦ Db Vb

τοὺς ψευδωνύμους στερρῶς
ἀνοσίους ἱερεῖς,
f. 106 ‖ κραυγάζων παρρησίᾳ·
«σοῦ, Χριστέ, τὸ εἶδος
ἐν πίστει προσκυνοῦμεν».

Καθάπερ λέοντος ὁρμὴ
τῷ θυμῷ σου, πάτερ, αἱρετικοὺς
καταπατήσας καὶ τὸν τῆς μανίας
παγκρατιαστὴν δυσμενῆ
τὴν πίστιν τοῦ Χριστοῦ
διαστρέφοντα δεινῶς,
τὰς θείας ἐκκλησίας
ἤλασας γενναίως,
Εὐστάθιε τρισμάκαρ.

θεοτ. Ὁ ἀπερίγραπτος Θεὸς
σαρκωθεὶς περιεγράφη σαρκί,
οὗπερ τὸ εἶδος τῆς μορφῆς ὁ τύπος
φέρων ἀληθείᾳ βοᾷ·
«ἐμβλέψατε οἱ τυφλοί,
ἐνωτίσθητε κωφοί,
βοῶντες θεοφρόνως·
σὲ ὑπερυψοῦμεν,
Χριστέ, εἰς τοὺς αἰῶνας».

ᾠδὴ θ'. *Τὴν μητέρα τοῦ φωτὸς*
καὶ μετὰ τόκον παρθένον
καὶ τῶν ψυχῶν ἡμῶν
σωτηρίας ἐλπίδα
οἱ πιστοὶ ὁμοφρόνως
⟨ἐν ὕμνοις⟩ μεγαλύνομεν.

Διωκόμενος, σοφέ,
ὑπὲρ τῆς ὀρθοδοξίας

162 ἤλασας] ἥνωσας Db Vm Vb 165 σαρκὶ om. Ck
heirm. θ' EE 80 n. 112 Germani, ([3] καὶ] τὴν EE Db [4] ἐλπίδα] λιμένα EE [6] ὕμνοις μεγαλύνομεν Db Vm ἐν ὕμνοις μεγαλύνομεν EE, in Ck quinque syllabae desiderantur)

168-169 Matth. 11,5

γενναίως ἤθλησας
μέχρι πέρας τοῦ βίου
καὶ θανὼν ἐπὶ ξένης
τὸν στέφανον ἐκομίσω ἐκ Θεοῦ.

Κἂν ἐν τάφῳ ἐπὶ γῆς
ἐπαναπαύῃ, παμμάκαρ,
ἀλλὰ τὸ κλέος σου
πολυτρόπως ὑμνεῖται,
ἱεράρχα κυρίου,
ἐν γῇ τε καὶ οὐρανῷ ἀληθῶς.

Ὡς ὁμόζηλος ποιμὴν
σὺ καὶ ὁμότροπος, πάτερ
σοφὲ Εὐστάθιε,
τῶν πατέρων ὑπάρχων,
τῶν πιστῶς σου τελούντων
τὴν μνήμην ὑπερεύχου ἀεί.

θεοτ. Σωτηρίας ἀπαρχὴ
σὺ ἀνεδείχθης, παρθένε,
ὅτι ἐκύησας
ἐν σαρκὶ τὸν σωτῆρα,
ὃν σὺν σοὶ μεγαλύνων,
ἐν πίστει τὴν ᾠδὴν ἐκπληρῶ.

196 ἐν om. Vm

IN SANCTUM JOANNEM CLIMACUM

Synaxarium, 571: .....Οὗτος ἑξκαίδεκα χρόνων ὑπάρχων καὶ ἀγχίνους ὢν τῇ ἐγκυκλίῳ σοφίᾳ προσαγήοχεν ἑαυτὸν τῷ Θεῷ θῦμα ἱερώτατον ἐν τῷ Σιναίῳ ὄρει ἀνελθὼν καὶ ἐν ὑποταγῇ διάγων..... Τεσσαράκοντα δὲ ἔτη διαπεράνας ἐν διακαεῖ ἔρωτι καὶ πυρὶ θείας ἀγάπης ἀεὶ πυρπολούμενος, ἤσθιε μὲν ἐκ πάντων ἃ ἀμέμπτως ἐφεῖται τῷ ἐπαγγέλματι· βραχὺ δὲ λίαν, καὶ ἐν τούτῳ, οἶμαι, τὸ τοῦ τύφου κέρας κλῶν πανσόφως.

'Αλλὰ τὴν τῶν δακρύων ἐκείνου πηγὴν τίς ἐξείπῃ λόγος; Ὕπνου δὲ τοσούτου μετελάμβανε, ὅσον τὴν τοῦ νοὸς οὐσίαν τῇ ἀγρυπνίᾳ μὴ λυμήνασθαι..... Εἰς τοῦτο οὖν ἀρετῆς ἀφικόμενος καὶ ἡγούμενος τοῦ ἁγίου ὄρους Σινᾶ χρηματίσας, κατέλιπε τὴν ἐπίκηρον ζωὴν καὶ πρὸς τὴν ἀΐδιον μετετέθη ἀνάπαυσιν, πρότερον σχεδιάσας τὴν πάνσοφον καὶ ψυχωφελῆ βίβλον τῆς Κλίμακος τῶν θείων καὶ πνευματικῶν ἀναβάσεων.

*

Mess. gr. 121 = Mh, ff. 61-63
Paris. gr. 255 = Pk, ff. 289v-291v
Reg. gr. 61 = Lo, ff. 34-35

Ὁ κανών.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Τῷ ἐκτινάξαντι ἐν θαλάσσῃ*

Τὸν τεκτηνάμενον θεοσόφως
ἐν θεωρίᾳ ἀρετῶν
κλίμακα ἡμῖν τῆς πρὸς Θεὸν ἀναβάσεως
ὑμνήσωμεν ἐν ᾠδαῖς,
τὸν ἀσκητήν τε καὶ σοφὸν Ἰωάννην.

heirm. α' EE 229, n. 328, Germani Pk strophas hoc ordine refert, 1, (x), 2,4; Lo 1,2, (x), 4 3 τῆς] τὴν Mh 5 σοφὸν] μέγαν Pk Lo

Ἐκλελεγμένος Θεῷ ὑπάρχων
ἐν τελειότητι ψυχῆς,
νέος ἡμῖν πέφηνας Μωσῆς, πάτερ ὅσιε,
νόμους μοναδικοὺς
ἐκτεθεικὼς θεοσόφως τοῖς ἀσκοῦσι.

Τοῖς σοῖς ἑπόμενοι, πάτερ, λόγοις
<— — — ́ — — ́ —
f. 61v — — — ́ — — ́ — — ́ — —
— ́ — — — — ́
— — — ́ — — — — ́ — — ́ —>.

θεοτ. Τὴν ἐξ αἱμάτων παρθενικῶν σου
καταβαφεῖσαν πορφύραν
ὁ παμβασιλεὺς τῶν οὐρανῶν, ἀειπάρθενε,
φορέσας ἐπὶ τῆς γῆς,
ἀνέδειξέ σε τῶν βροτῶν βασιλίδα.

ᾠδὴ γ'. *Οὐκ ἔστιν ἅγιος*

Ἐννοίας καινότητα
ἀποφέρων καὶ τοῦ νοῦ
καὶ ψυχὴν φωτιζόμενος
μελέτῃ θανάτου,
τῷ Θεῷ ὡμοιώθης,
ὡς οἷόν τε, πάνσοφε,
μορφούμενος ἐν ταῖς ἀρεταῖς.

Παράδεισον κτώμενος
τὴν καρδίαν ἀρετῶν

Post primum trop. Pk Lo praebent: Ἀπὸ τοῦ βίου ἔχων [illegible]ν λόγον, / χάριτος θείας ἐμπλησθείς / ἐν τοῖς ἑκατέροις παιδευτὴς ἡμῖν / γέγον[illegible] ἀπλανὴς / πρὸς σωτηρίαν ὁδηγῶν ἡμᾶς, πάτερ. (ἐμπλησθεὶς] ἐμπλεῆ Lo ἀρετῆς om. [illegible]o). 6 ἐκλελεγμένως Pk Lo 8 νέως Lo Μωσῆς om. Lo 10 θεο[illegible]στως Pk Lo 11-15 trop. om. Pk Lo 12-15 in Mh scriptum: δὲ περώ[illegible]ς τῶν παθῶν / θάλασσαν τὴν < > / ἀγόμενοι πρὸς τὴν γῆν / τῆς ἀπαθείας ἐ[illegible]ῷ πεποιθήσει.
heirm. γ' EE 226, n. 323, Germani Pk strophas h[illegible] ordine refert 1, 3, (x), (4) 21 ἐννοίαις σκεότητος Mh Lo 22 ἐπιφέρων [illegible]

καὶ πηγὴν ἀναπηγάζουσαν
ἐκ ταύτης τὸ δάκρυον
τῷ τῆς γνώσεως ξύλῳ
ἐνθέως προσήγγισας,
ζωὴν ἐντεῦθεν, πάτερ, εὑρών.

Τὸ κέντρον ἀπέπεμψας
τοῦ θυμοῦ τῷ ἐχθρῷ
καὶ πραότητος ἄνθεσιν
γλυκὺν καὶ ἀνήροτον
τὸν τῆς ἀοργησίας
καρπὸν ἐγεώργησας
τῷ παμβασιλεῖ σου, πάτερ, Χριστῷ.

θεοτ. * Ὑπὲρ τὰ πυρίμορφα
Σεραφὶμ ὤφθης, ἁγνή,
τιμιωτέρα, κυήσασα
τὸν τούτοις ἀπρόσιτον
Ἰησοῦν τὸν σωτῆρα,
σαρκώσει θεώσαντα
τῶν γηγενῶν τὸ φύραμα.

ᾠδὴ δ'. *Ἐξ ὄρους κατασκίου*

Πλῆκτρον ἐσχηκὼς
θεόλεκτον τὴν γλῶσσαν,

30 ἀναβαίνουσαν Lo 31 τὰ δάκρυα Lo 32 τὸ τῆς γνώσεως ξένον Mh Pk tertium trop. his vv. substituit Λυποῦσίν σε ἅπασιν / ἐκ καρδίας ἐπαφεὶς / ἐθαυμάζου τοῖς σκόπτουσι / πρὸς τὸ ἀμνησίκακον· / οὐ γὰρ τῆς δυσμενείας / ἐνέμεινε πώποτε / λείψανά σοι, ὅσιε. 42-48 θεοτ. TR, 25; in Pk Lo hoc θεοτ. traditur cuius initium sonat Παρθένος ἔτεκες, ἀπειρόγαμε MR I, 291 47 σαρκωθήσῃ θεώσαντα Mh

In Pk post odem γ' hoc κάθ. invenimus. Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ Λόγου* Θεωρίᾳ καὶ πράξει / ὑπερφυῶς / διαλάμψας ἀστράπτεις ταῖς διδαχαῖς· / νόμους ἡμῖν ἔθηκας θεοσόφους, μακάριε, / ἀρετῶν τὰ κάλλη / βαθμῷ ἀναθέμενος / καὶ κακίας δόλους δηλώσας καὶ ἔνεδρα· / ὅθεν διεξάγεις / τοὺς τοῖς σοῖς ἑπομένοις / θείοις διδάγμασιν / ἐκ παθῶν πρὸς ἀπάθειαν, / Ἰωάννη ἰσάγγελε, / πρέσβευε Χριστῷ τῷ Θεῷ / τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι / τοῖς ἑορτάζουσι / πόθῳ τὴν ἁγίαν μνήμην σου. Δόξα. ... καὶ νῦν. θεοτοκίον.

heirm. δ' EE 224, n. 321, Joannis 50 γλῶσσαν] γνῶσιν Lo

εἶργες λαλιᾶς αὐτὴν κατὰ τοῦ πέλας·
τὸ γὰρ ἐκεῖθεν κριτήριον ἀποβλέπων,
ἀξιεπαίνως, πάτερ, ἔζησας.

Θείας λαλιᾶς
ἀεὶ ἐνηχημένος,
λόγοις τῶν ματαίων ἔπτυξας τὰ χείλη
f. 62 καὶ τῇ σιγῇ || ἐμβατεύσας, πάτερ, τὰ ἄνω
θεολογίας μύστης γέγονας.

Λόγον ἀληθῶς
ὡς φῶς ἐν γλώσσῃ φέρων,
ἤλασας τοῦ ψεύδους σκότος ἐκ ψυχῆς σου,
καταλαμπρύνας, πάτερ, τὴν πολιτείαν
δικαιοσύνης τοῖς αὐχήμασιν.

θεοτ. * Ἴθυνον ἡμᾶς
εὐχαῖς σου κυβερνῶσα
κλυδωνιζομένους σάλῳ ἁμαρτίας
εἰς σωτηρίας λιμένα, κυριοτόκε,
ἐκλυτρουμένη ἐκ παντοίων δεινῶν.

ᾠδὴ ε'. *Τὸν ζόφον τῆς ψυχῆς μου*

Τραχύτητι διαίτης
εὐσθενέστατος, πάτερ, ὤφθης τῷ πνεύματι,
τὸν γαργαλίζοντα ὄφιν
δυνατῶς ἀπεκρούσω

51 εἶργο Mh εἴργου Lo 55 ἀεὶ] σοφὲ Lo 56 ἔπτυ[illegible] ἔβυσας Pk 59-63 Pk hoc trop. praebet Ζέων τῷ θεῷ / δουλεύειν προθυμίᾳ [illegible]νῳ ἀκηδίας οὔπω κατεψύχθης / ἀνακαιόμενος, πάτερ, πᾶσαν ἡμέραν / ἐν τῷ πυρὶ [illegible] θείου πνεύματος. 61 σκότους cdd. 64-68 θεοτ. TR, 24; in Pk hoc θεοτ. in[illegible]imus cuius initium sonat Σὲ διὰ παντός, παρθένε θεοτόκε MR V, 115; Lo vero [illegible]erum θεοτ. tradit Χαῖρε τοῦ θεοῦ εὐρύχωρον χωρίον, / χαῖρε, κιβωτὲ τῆς νέας δι[illegible]κης, / χαῖρε, ἡ μόνη [ἡ] ἀντίληψις τῶν ἀνθρώπων, / εὐλογημένη θεοτόκε ἁγνή. = [illegible], 634 (post διαθήκης PaR praebet: χαῖρε, ἡ ἔγχρυσος στάμνος ἐξ ἧς τὸ μάν[illegible] πᾶσιν ἐδόθη τὸ οὐράνιον)

heirm. ε' EE 228, n. 327, Andreae 69 τραχύτητι] βρ[illegible]τητι Pk Lo 70 πάτερ om. Pk Lo 72 δυνατὸς Mh Lo

ἀναγραψάμενος
κατὰ γαστρὸς τῆς μαινάδος
τοὺς τῆς ἐγκρατείας θεσμούς.

Λαμπρότητι ἁγνείας
καθαρώτατος ὤφθης ναὸς τοῦ ζῶντος Θεοῦ,
ὃν ἔσχες ὥσπερ νυμφίον,
φιλοπάρθενε πάτερ,
τὴν βασιλείαν αὐτοῦ
τῆς ἀφθαρσίας σοι μνῆστρα
καὶ προῖκα δωρούμενον.

θεοτ. * Σταυρῷ σε κατιδοῦσα
καταδίκως ἐφθαρμένον ἡ μήτηρ σου, Χριστέ,
καὶ ἐκ πλευρᾶς ζωηρᾶς σου
ῥυὲν αἷμα καὶ ὕδωρ,
κατετρώσκετο
καὶ τῇ μητρικῇ συμπαθείᾳ·
υἱόν σε γὰρ ἔγνω αὐτῆς.

ᾠδὴ ς′. *Ὡς τὸν προφήτην ἐρρύσω*

Διὰ τῆς νήψεως ἔχων
τῶν κρειττόνων τὸν νοῦν σου ῥωννύμενον,
εἰς νόσον οὐ πέπτωκας,
νεκροῦσαν τὴν ἔνστασιν
τῆς καρδίας σου
ὕπνῳ ἀμελείας, σοφέ.

---

75 θεσμοὺς ἐγκρατείας σοφέ Pk Lo 79 πάτερ] μῆτερ Mh 81 σὸν Mh 76-82 Pk hanc stropham refert Ὡς μέγα σοι τὸ χρῆμα / κατ' εἰκόνα κτισθῆναι τῆς φύσεως[1] / φιλαργυρίας τὴν νόσον / ὡς βόθρον ἀπεφεύξω, / περιουσίαν πολλὴν / τῶν ἀγαθῶν καὶ μενόντων, / σοφέ, θησαυρίσας καλῶ. Idem trop. Lo ante θεοτ. praebet ([1]... θῆναι τῆς θείας φύσεως Lo) In Pk hoc trop. sequitur Τῇ πάντων ἀποκτήσει / τῶν ἐνύλων θείᾳ, πάτερ, ἐπλούτησας / μεγαλεμπόρως τοῦ βίου / τὸν πλοῦν διαπεράσας / καὶ εἰς λιμένα σωθεὶς / τῆς ἀειζώου γαλήνης / Χριστῷ συνευφραίνῃ σαφῶς. 83-89 θεοτ. Pent πς′; in Pk Lo autem hoc θεοτ. invenimus Βοάτω Ἰωάννης / ἑρμηνεύων δόγμασι θείοις τὴν σάρκωσιν· / ὁ Λόγος σὰρξ ἐκ παρθένου / γενόμενος ἀτρέπτως / διέμεινεν ὅπερ ἦν / τῶν πατρικῶν αὐτοῦ κόλπων / ὡς φύσει θεὸς μὴ ἐκστάς.
heirm. ς′ EE 226, n. 323, Germani 91 ῥωννύμενος Mh 93 ἔνστασιν] αἴσθησιν Pk Lo 95 σοφέ] ποτὲ Pk Lo

Τῆς ῥαθυμίας τὸν ὕπνον
ἀπωσάμενος, γέγονας, ὅσιε,
ἀκοίμητον ὄργανον
f. 62v τῷ‖φθόγγῳ σου τοῦ ᾄσματος
τῶν παννύχων σου,
πάτερ, παραστάσεων.

Ἐπαγρυπνῶν διανοίᾳ
ταῖς εὐχαῖς καὶ δεήσεσι πάντοτε,
ἐν ἁγίαις πράξεσιν
ὤφθης πανημέριος,
μὴ εἰδὼς τὴν νύκτα
τῆς κακίας, ὅσιε.

θεοτ. Χαίροις ἡ μόνη τεκοῦσα
τὸ ὑπέρθεον φῶς, θεοτόκε ἁγνή·
χαίροις ἡ ἀνοίξασα
τὴν πάλαι κλεισθεῖσάν μοι
διὰ βρώσεως πύλην
τῆς ἀφθάρτου ζωῆς.

ᾠδὴ ζ′. *Ὁ τοὺς παῖδας δροσίσας*

Ἀνδρειωθεὶς τελειότητος ἰσχύϊ,
νηπιώδη δειλίαν
ἀπεσείσω, παμμάκαρ, ψάλλων·
«εὐλογητὸς εἶ, κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν».

Κενοδοξίας τὸ δύσμαχον θηρίον
ταπεινώσεως ξίφει
κατασφάττων, πάτερ, ἐβόας·

---

99 αἴτιον τοῦ ᾄσματος Pk Lo 103 καὶ om. Lo πάντοτ[illegible]άνσοφε Pk Lo 108-113 in Pk Lo θεοτ. traditur cuius initium sonat Ὁ τεχ[illegible] ἐκ παρθένου MR I,31 (Ὁ τεχθεὶς] Ἐτέχθης Lo); in Pk post odem ς′ le[illegible]us: Κοντάκιον. ἦχος γ′. *Ἡ παρθένος σήμερον* Ὡς φωστῆρα ἄδυτον ... MR I, [illegible]
heirm. ζ′ EE 226, n. 324, Germani 117-118, 122 [illegible] εὐλογητὸς εἶ / εἰς τοὺς αἰῶνας, κύριε Mh Pk 120 ταπεινώσεως] ταπεινώσα[illegible] Lo

« εὐλογητὸς εἶ, κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν ».

τριαδ. Ὁμοούσιον σέβω σε θεότητος
ἐν μονάδι Τριάδα
χαρακτήρων προσκυνουμένην,
πατὴρ παντοκράτορ, σύμμορφε
υἱὲ Θεοῦ καὶ τὸ πνεῦμα τὸ ζῶν.

θεοτ. Δαυϊτικῶς σε καλοῦμεν ὄρος πῖον,
μητροπάρθενε κόρη,
ἐν ᾧ ᾤκησεν εὐδοκήσας
ὁ Θεὸς Λόγος, ἄνθρωπος
προελθὼν καὶ Θεὸς ὁ αὐτός.

ᾠδὴ η'. *Τὸν ἐν ὄρει*

Ἀπροσίτῳ
ἀρετῇ διαλάμψας,
ἑωσφόρος
ἀγγελόμορφος ὤφθης
δαιμονικῆς οἰήσεως φευξάμενος,
ἀνυμνῶν ἀπαύστως
μετὰ ἀγγέλων, πάτερ,
Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἐν ἀπλάστοις
ἤθεσιν ἀκακίας,
πανουργίας
πάσας τῶν ἐναντίων
ὥσπερ ἱστὸν ἀράχνης ἐκλυσάμενος,
ὕμνεις ἀσιγήτως

124-128 τριαδ. om. Pk Lo 129-133 in Pk Lo hoc θεοτ. traditur Τὸν ἐκ σοῦ σαρκωθέντα ὑπὲρ λόγον / δυσωποῦσα μὴ παύσῃ, ἀπειρόγαμε θεοτόκε, / ἐκ κινδύνων ῥύσασθαι / τοῦ ἐχθροῦ τὰς ψυχὰς ἡμῶν = MR III, 353 (ἀπειρόγαμε] ὑπερύμνητε MR κινδύνων] παγίδων MR)

heirm. η' EE 226, n. 323, Germani Pk Lo strophas hoc ordine tradunt 1, 3, 2, (x) 140 μετὰ τῶν ἀγγέλων πάτερ Pk Lo 146 ἐκλυσάμενος] σκεδασάμενος Pk ἐκδυσάμενος Lo 147 ὕμνοις ἀσιγήτως Pk ὕμνοις ἀσιγήτοις Lo

σὺν ἀγγέλοις, πάτερ,
Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὡς πορφύραν
τὴν ταπεινοφροσύνην
f. 63 ὑπεν||δύσας
ἑαυτὸν κατὰ κράτος
τῆς ἁμαρτίας, πάτερ, ἐβασίλευσας,
ἀνυμνῶν ἀπαύστως
καὶ ὑπερδοξάζων
Χριστὸν εἰς τοὺς αἰῶνας.

θεοτ. * Ῥείθρου ζῶντος
πηγὴ ἐσφραγισμένη
ἀνεδείχθης,
Θεοτόκε παρθένε·
ἀνάνδρως γὰρ τὸν κύριον γεννήσασα,
τῆς ἀθανασίας
τοῖς πιστοῖς ποτίζεις
τὸ νᾶμα εἰς αἰῶνας.

ᾠδὴ θ'. *Τὸν προδηλωθέντα*

Ἧψας ἡμῖν λύχνον φωτὸς τοῖς νυκτομ[illegible]ῦσι
πρὸς τὰς μεθοδείας τοῦ ἐχθροῦ,
τὴν εὐδιάκριτόν σου
διδαχὴν ἀπλανῶς ὁδηγοῦσαν
πρὸς τὸν οὐρανὸν ἡμᾶς, μακάριε.

Ἐν τῷ ἀκυμάντῳ πελάγει τῆς ἡσυχίας
λογισμοὺς ζωγρῶν, ὅσιε,
ζωηφόρους καὶ τούτοις

152 ἐπενδύσας Pk 153 ἑαυτῷ Lo 158-165 θ[illegible] TR, 27; Pk Lo θεοτ. tradunt Τὸν ἐν μήτρᾳ οἰκήσαντα παρθένου MR I, 34.

heirm. θ' EE 226, n. 324, Germani 167 τοῦ om. [illegible] 168 ἀδιάκριτον Pk 169 ἀπλανῶς om. Pk 171 πελάγει] πλο[illegible] Pk Lo τῆς σῆς ἡσυχίας Pk Lo 172 ζωγραφῶν Pk 173 τούτους Lo

ἐκτρεφόμενος ψυχικῶς, ἐπελάθου
πάσης σαρκικῆς σχεδὸν ὀρέξεως.

Ἐν αὐτεξουσίῳ θελήματι ὥσπερ ἔθνη
βαρβαρόφυλα, ὅσιε,
ὑπέταξας τὰ πάθη·
ἀπαθείας εἰρήνη ἐδείχθης
τοῦ ἐπουρανίου βασιλέως Χριστοῦ.

Αἱ φωτιστικαί, πάτερ, πρὸς Θεὸν ἐντεύξεις,
καθαρόν σε πάντοτε
τὸν νοῦν διατηροῦσαι,
ὥσπερ ἥλιον ἐν τῷ κόσμῳ σε ἧγουν
φῶς ψυχωφελὲς ἀνθρώποις λάμποντα.

θεοτ. * Ὑπὲρ νοῦν ὁ τόκος σου· γεννᾷς γὰρ τὸν προόντα,
γαλουχεῖς ἀχράντως
τὸν τροφοδότην τοῦ κόσμου,
ἀνακλίνεις τὸν τοῦ παντὸς συνοχέα,
Χριστὸν τὸν λυτρωτὴν ἡμῶν, πανάμωμε.

175 σχεδὸν] σοφέ Pk Lo 181-185 Lk Lo tradunt: Πίστει καὶ ἐλπίδι ὁμοῦ τε τῇ ἀγάπῃ / ἐφθακὼς τὸ ἔσχατον / ὀρεκτῶν, θεομάκαρ, / ἐν αὐτῷ τῷ Θεῷ συνεκράθης / ὑπὲρ τῶν ψυχῶν ἡμῶν πρεσβεύων ἀεί. (πίστει ἐλπίδι ... Lo) 186-190 θεοτ. TR, 28; Pk Lo θεοτ. tradunt Σὺ εἶ, θεοτόκε, τὰ ὅπλα ἡμῶν καὶ τεῖχος MR III, 325.

31 MART. ..ΝΟΝ XXXV

IN SANCTUM BENIAMIN

Synaxarium, 574: .....Οὗτος ἦν ἐπὶ τῆς βασιλεί.. Θεοδοσίου τοῦ μικροῦ ἐν Περσίδι. Καὶ ἐπεὶ κατέλυσε τὸν ναὸν τοῦ πυρ.. ἐκρατήθη καὶ προσήχθη τῷ βασιλεῖ καὶ πρῶτον μὲν μετὰ πραότητος ..ρεκάλει αὐτὸν ἀνοικοδομῆσαι τὸν ναόν. Τοῦ δὲ ἀδύνατον εἶναι, λέγοντος, πάσας τὰς ἐκκλησίας τῶν χριστιανῶν ἀποστείλας κατέστρεψε. Καὶ λα..τος ἀρχὴν τοῦ κατὰ τῶν χριστιανῶν διωγμοῦ..... πολλοὶ μάρτυρες ..δείχθησαν ἐξ ὧν ἐστι καὶ Βενιαμὶν διάκονος. Ὃς καλάμους ὀξεῖς ε..σιν κατὰ τῶν χειρῶν καὶ τῶν ποδῶν δεξάμενος καὶ ἕτερον κάλαμον κατ..οῦ παιδογόνου μορίου .....γενναίως ταῦτα ὑπομείνας, εἴληφε τοὺς τῆ. .θλήσεως στεφάνους ἐν οὐρανοῖς ἐν Θεῷ· ἀμήν.

Paris. gr. 341 = Pq, pp. 205-212
Crypt. Δ.α. XXII = Dc, ff. 81-89
Vat. gr. 1510 = Vs, ff. 107-111.

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Τιμῶ σε, μάρτυς λευῖτα, μελῳδίαις. Ἰω..

Ἦχος γ'.

ᾠδὴ α'. *Ὁ τὰ ὕδατα πάλαι*

Τὸν Χριστοῦ στρατιώτην,
τῆς δυσσεβείας
τιμήσωμεν τὸν στερρὸν καθαιρέτην·
ἀληθεῖ πίστει γὰρ
παραταξάμενος,
πάσας ἐταπείνωσε
τὰς τοῦ ἐχθροῦ μυριάδας
καὶ νίκης διάδημα
ἐπανεδήσατο.

heirm. α' EE 67 n. 95, Joannis 1 τὸν τοῦ Χριστοῦ 4 ἀληθῶς πίστιν γὰρ Vs 7 τῶν ἐχθρῶν Dc

1 II Tim. 2,3

Ἱερεῖον ἐγένου
ἄμωμον, μάρτυς
θεόφρον Βενιαμίν, ἐναθλήσας
καὶ δεκτὸν σφάγιον
καὶ ὁλοκαύτωμα
Λόγῳ προσαγόμενος
ὑπὲρ ἡμῶν τῷ σφαγέντι·
p. 206 || ὅθεν ἐν αἰνέσει
σὲ πιστοὶ δοξάζομεν.

Μεγαλόφρονι γνώμῃ
τῆς ἀπωλείας,
παμμάκαρ, καταβαλὼν τὰ τεμένη,
αἰκισμοὺς ἤνεγκας
καὶ βιαιότατον
θάνατον, πανόλβιε,
ὑπὸ χειρῶν παρανόμων
μάτην ἀναιρούμενος
καὶ τελειούμενος.

θεοτ. Ὡς μητέρα παρθένον,
θεοκυῆτορ,
τοῦ πλάστου σε τῶν ἁπάντων ὑμνοῦμεν,
προφητῶν λάλημα,
μαρτύρων καύχημα,
πάντων τὸ διάσωσμα
τῶν ἐν ποικίλαις ἀνάγκαις,
λυχνία ὁλόφωτε,
γῆ ἀγεώργητε.

ᾠδὴ γ΄. *Ὁ ἐκ μὴ ὄντων*

Σὲ ὡς ἀρνίον
συνέλαβον καὶ χερσὶν

10-18 trop. om. Dc   21 παμμάκαρ] θεόφρον Vs   22 αἰκισμοὺς] καὶ βωμοὺς Vs   35 λυχνία] δέσποινα Pq Vs
heirm. γ′ EE 67, n. 95, Joannis Dc strophas hoc ordine praebet 1, 3, 2, 4

13-15 Act. 7,42

ἀνόμοις ἐσπάραττον,
ἐκκενοῦντες τὰ σπλάγχνα σου
ἀπηνῶς οἱ τύραννοι,
Χριστοῦ λευῖτα σοφέ, μαρτύρων κλέος.

Ἐθελουσίως
παρέδωκας σεαυτὸν
τοῖς ἐπιζητοῦσί σε
ὠμοτάτοις παράφροσιν,
ἀθλητὰ πανόλβιε,
καὶ ὑπομείνας βασάνους ἐδοξάσθης.

Μύρον εὐῶδες
πηγάζει σου ἡ σορός·
νομίμως γὰρ ἤθλησας,
εὐωδία γενόμενος
τοῦ Χριστοῦ ἐν πνεύματι
p. 207 || καὶ εἰς ὀσμὴν τῶν αὐτοῦ ἔδραμες μύρων.

θεοτ. Ἁγιωτέρα
ὑπάρχουσα Χερουβίμ,
τὸν νοῦν μου ἁγίασον,
παναγία θεόνυμφε,
καὶ τὰ πάθη μείωσον
τῆς ταπεινῆς μου ψυχῆς, ἐκδυσωπῶ σε.

Κάθισμα.

Ἦχος γ΄. *Τὴν ὡραιότητα*

Θανεῖν ἑλόμενος
ὑπὲρ τοῦ ζῶντος Θεοῦ,
σαυτὸν παρέδωκας,
μάρτυς, εἰς μάστιγας
καὶ ταῖς ῥανίσι τῶν σεπτῶν
αἱμάτων σου ἀπέπνιξας

44 ἑαυτὸν Pq Dc   54 ἑαυτοῦ Pq   59 τῷ πάθει Vs
heirm. καθ. MR III, 278, idem κάθ. Dc ante canonem tradit; Vs omnino om.

51 II Tim. 2,5

ὄφιν τὸν παμπόνηρον
καὶ εἰς γῆν ἐταπείνωσας·
ὅθεν εἰσελήλυθας
εἰς τὰ ἄνω βασίλεια,
Χριστόν, Βενιαμίν, ἱκετεύων
τοῦ σῶσαι τοὺς πίστει τιμῶντάς σε.

ᾠδὴ δ'. *Ἔθου πρὸς ἡμᾶς*
κραταιὰν ἀγάπησιν, κύριε,

Ῥήμασι σοφοῖς
τοὺς ἀσόφους, μάρτυς, διήλεγχες·
ὅθεν σε πληγαῖς παντοδαπαῖς
ὑποβαλόντες ἔκτειναν, ἔνδοξε,
Θεῷ χαριστήριον
αἶνον προσφόρως πίστει ἀναμέλποντα.

Τείναντες δεινῶς
τὰ σὰ σπλάγχνα, μάρτυς, ἀνέρρηξαν·
παίοντες ἐσπάραττον ὠμῶς
καὶ τοῖς κυσὶ διδόντες κατάβρωμα,
λευῖτα πολύαθλε,
τῶν ἀσωμάτων πάντων ἰσοστάσιε.

Ὕμνους τῷ Θεῷ
τεταμένος, μάκαρ, προσέφερες,
p. 208 ‖ τῷ διὰ παθῶν σε τῆς σαρκὸς
τῶν ἀγαθῶν ἐκείνων δεικνύοντι
ὡς ἄξιον μέτοχον,
ὧν τοῖς ἁγίοις πᾶσιν ἡτοιμάσατο.

θεοτ. Σύμμορφον πατρὶ
τὸν υἱὸν καὶ Λόγον τυγχάνοντα
τέτοκας, πανάχραντε ἁγνή,

heirm. δ' EE 67, n. 95, Joannis   61 σοφέ Dc   62 διήλεγξας Dc Vs
65 θεῷ] χριστῷ Vs   67-72 trop. om. Dc   74 τεταμένος] μεταθέμενος Pq

ὁμοιωθῆναι πᾶσι θελήσαντα
βροτοῖς, οἷς εὐδόκησεν
ἐμφανισθῆναι ἄκρᾳ ἀγαθότητι.

ᾠδὴ ε'. *Ὡς εἶδεν Ἠσαΐας*
συμβολικῶς ἐν θρόνῳ ἐπηρμένῳ [illegible]

Λεόντων αἱμοβόρων
θηριωδίαν πᾶσαν κατεπάλαισας,
μάρτυς ἀθλοφόρε ἀξιοθαύμαστε,
καὶ θεῖον ὑπέστης πάθος
ἐν μιμήσει τοῦ παθόντος δι' ἡμᾶς·
ὅθεν ἐν αἰνέσει
πιστοί σε μακαρίζομεν.

Ἐδέσμευσας τὴν πλάνην
διὰ Χριστὸν δεσμώτης σὺ γενόμενος,
καὶ ταῖς τῶν αἱμάτων ῥανίσιν ἔσβεσας,
θεόφρον, τῆς ἀθεΐας
πῦρ ἀλλότριον, πηγάζεις δὲ ἡμῖν
ῥεῖθρα ἰαμάτων,
Βενιαμὶν πανόλβιε.

Ὑπῆλθες τῶν ἀγώνων
περιφανῶς, πανένδοξε, τὸ στάδιον
μὴ πτήξας βασάνους, ἀλλ' οὐδὲ θάνατον·
ἐντεῦθεν καθυπομείνας
ὥσπερ ἄσαρκος ἀπείρους αἰκισμούς,
νίκης τὰ βραβεῖα,
Βενιαμίν, ἀπείληφας.

θεοτ. Ἰάτρευσον νοσοῦσαν
διηνεκῶς, παρθένε, τὴν καρδίαν μου
πάσαις ἁμαρτίαις καὶ κινδυνεύουσαν
καὶ δίδου ὀρθῶς βαδίζειν

83 οἷς] ὡς Dc   84 ἀγαθότητος Vs
heirm. ε' EE 71, n. 101, Cosmae   91 πιστοί σε] πίστει Vs   95 ἀθεΐας] εὐσεβείας Vs   99-105 trop. om. Dc   102 καθυπομείνας] κα[illegible]ρ μείνας Vs

209 τὰς φερούσας πρὸς ‖ τὸ φῶς τὸ ἐκ τῆς σῆς
γαστρὸς ἀναλάμψαν
ὁδούς, θεοχαρίτωτε.

ᾠδὴ ϛ'. *Ἄβυσσος ἐσχάτη ἁμαρτιῶν*

Τίμιος ὁ θάνατός σου, σοφέ,
Θεοῦ τοῦ Λόγου ἐναντίον γεγένηται
τοῦ πολλοῖς τιμήσαντος
τεραστίοις σε, ἔνδοξε,
δι' ἀθλήσεως τὸν ἐχθρὸν καταισχύναντα.

Αἵμασι καθαγιάσας τὴν γῆν
διεχυθεῖσι δι' ἀγάπησιν Χριστοῦ τοῦ Θεοῦ,
ἀναβλύζεις πάντοτε
ἁγιασμὸν τοῖς πίστει σου
προσπελάζουσι τῇ σορῷ, ἀξιάγαστε.

Μέμνησο τῶν πίστει εἰλικρινεῖ
ἀνευφημούντων τὰ σεπτά σου παλαίσματα
καὶ τὰ ἀγωνίσματα,
Βενιαμὶν πανόλβιε,
ὅπως εὕρωμεν ἱλασμόν τε καὶ ἄφεσιν.

θεοτ. Ἔτεκες χωρὶς ὠδίνων, ἁγνή,
τὸν τὰς ὠδίνας τοῦ θανάτου σκεδάσαντα·
ἀλλ' αὐτὸν ἱκέτευε
ὠδίνων τε καὶ θλίψεων
πάντας ῥύσασθαι τοὺς ὑμνοῦντάς σε, δέσποινα.

ᾠδὴ ζ'. *Τὸ πρὶν εἰκόνι τῇ χρυσῇ*

Λελαμπρυσμένος τῷ φωτὶ
τῆς θείας ἀθλήσεως,

---

heirm. ϛ' EE 67, n. 95, Joannis 117 καταισχύναντος Pq καταισχύνατε Vs 118 καθαγιάσαντος Vs 119 ἀγάπην Vs 120 ἀναβλύζει Vs 127 εὕρωμεν] εὕρω σε Pq 131 δεινῶν τε καὶ κινδύνων Vs
heirm. ζ' EE 69, n. 97, Joannis

πρὸς τὸ φῶς τὸ ἀνέσπερον
μετετέθης, Βενιαμὶν λευῖτα·
ὅθεν πάντες σε πιστῶς ὑμνολογοῦμεν.

Ὡς πεπλησμένος θεϊκῆς
σοφίας καὶ γνώσεως
τοὺς ἀσόφους διήλεγχες
ἀνομοῦντας καὶ τοῖς εἰδώλοις σέβας
ἀπονέμοντας, σοφέ, ἀλογωτάτως.

Δῆμον ἐκλόνησας ἐχθρῶν
ἀκλονήτῳ, ἔνδοξε,
ὑπομένων φρονήματι
τὰς βασάνους τὰς λίαν ἀνυποίστους
καὶ τὴν ἄδικον σφαγήν, Χριστοῦ λευῖτα.

θεοτ. Ἰάτρευσόν μου τῆς ψυχῆς,
παρθένε, τὰ τραύματα
p. 210 ‖ καὶ τὸν νοῦν φωταγώγησον
σκοτισθέντα χρονίᾳ ἀμελείᾳ,
ὅπως πίστει σε ὑμνῶ, θεογεννῆτορ.

ᾠδὴ η'. *Βαβυλωνία κάμινος*
τοὺς παῖδας οὐκ ἔφλεξεν
οὐδὲ τῆς θεότητος τὸ πῦρ
τὴν παρθένον διέφθειρεν·
διὸ μετὰ τῶν παίδων, πιστοί, βοήσωμεν·
εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον

Ἄνω πρὸς τὸν δυνάμενον
σῴζειν μόνον κύριον
ἔχων τῆς καρδίας σου, σοφὲ

138-142 trop. in Pq deest 144 ἀκλονήτως Pq 152 [illegible] πάναγνε σεμνή, ὑμνολογῶ σε Dc
heirm. η' EE 69, n. 98, Joannis [3] τὸ om. EE [5] πιστοί [illegible]ινοις EE [6] πάντα om. EE

Βενιαμίν, τὰ ὄμματα,
ἐτύφθης, ἀνῃρέθης βοῶν, μακάριε·
« εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

Ἰάσεις ἀναβλύζει σου,
ἔνδοξε, τὰ λείψανα
πίστει τοῖς προστρέχουσι θερμῇ
καὶ σὲ καθικετεύουσι
καὶ πόθῳ μελῳδοῦσι τῷ ἐπὶ πάντων Θεῷ·
« εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

Στομώσας ὥσπερ σίδηρον
πίστει τὴν καρδίαν σου,
ἔμεινας ἀνάλωτος, σοφέ,
τοῦ ἐχθροῦ μηχανήμασι
καὶ χαίρων ἐμελῴδεις τῷ ἐπὶ πάντων Θεῷ·
« εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

θεοτ. Ἰσχύς μου καὶ κραταίωμα,
τεῖχος καὶ ἀντίληψις,
p. 211 || σκέπη καὶ βοήθεια, ἁγνή,
ὑπάρχεις ἀκαταίσχυντος·
διό σε μακαρίζων μετὰ τῶν παίδων βοῶ·
« εὐλογεῖτε ⟨πάντα⟩ τὰ ἔργα κυρίου τὸν κύριον ».

ᾠδὴ θ'. *Καινὸν τὸ θαῦμα καὶ θεοπρεπὲς*

Ὡραῖος κάλλει ταῖς μαρτυρικαῖς
ὡραιότησιν ἀποφανθείς, φωτὶ νοητῷ
ὑπὲρ τοῦ ἡλίου τὰς αὐγὰς κατηστράφθης
καὶ πρὸς σκηνὰς μετέστης αἰωνίους, σοφέ,
χορείαις μαρτύρων καὶ δικαίων
τῶν ἀπ' αἰῶνος
συνεπαγάλλεσθαι, ἀξιάγαστε.

---

157 ἐτύφθης] ἐστέφθης Vs 158, 164, 170, 176 κυρίου τὸν κύριον om. cdd.
165-170 trop. om. Dc
heirm. θ' EE 69, n. 98, Joannis 179 κατεστράφθης Dc

Σαρκὸς αἰκίας ἤνεγκας στερρῶς,
ἀπερείδων σου τὸ τῆς καρδίας ὄμμα σαφῶ
πρὸς τὸν σοὶ ποθούμενον Θεὸν καὶ δεσπότ
τὸν οὐρανόθεν νίκην χορηγοῦντά σοι,
γενναῖε κυρίου στρατιῶτα,
ἐχθροὺς ἀσάρκους
τροποῦσθαι, ἔνδοξε, θείᾳ χάριτι.

Ἡρπάγης, μάρτυς, ἄνω πρὸς Θεὸν
ὡς ἐν ἅρματι προσεπιβάς, παμμάκαρ, τῷ σ
παναγίῳ αἵματι καὶ νῦν πρὸς νυμφῶνα
φωτοειδῆ γηθόμενος ἐσκήνωσας,
p. 212 || πρεσβεύων ὑπὲρ ἡμῶν ἀπαύστως
τῶν τὴν ἁγίαν
ἐπιτελούντων σου, μάρτυς, ἄθλησιν.

θεοτ. Φωτός σου θείαις, κόρη, ἀστραπαῖς
φωταγώγησον τὰς τῆς ψυχῆς μου κόρας, ἁ
καὶ τοῦ σκότους ῥῦσαί με καὶ τῆς τιμωρίας
τῆς αἰωνίου θείαις μεσιτείαις σου
καὶ δεῖξόν την τρίβον μοι, παρθένε,
δι' ἧς εἰσέλθω
πρὸς τὰ σκηνώματα τὰ οὐράνια.

184-190 trop. om. Dc 184 αἰκίαις Vs 1[illegible] ἀπερείδων] ἄπερ εἶδον Vs σαφῶς] σοφῶς Vs 187 νίκης Pq 1[illegible] ἄνω μάρτυς Dc 193 παναγίῳ] θείῳ Vs 198 σου θείαις] τοῦ θείου Dc 200 τιμωρίας] ἀτιμίας Vs

31 *MART.* *CANON* XXXVI

IN SANCTUM HYPATIUM

Synaxarium, 223: Οὗτος εἷς ἦν τῶν τιη' ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων..... Διὰ δὲ τὴν ἔνθεον αὐτοῦ καὶ ἐνάρετον πολιτείαν μεγάλα εἰργάσατο θαύματα, πολλὰ πλήθη προσαγαγὼν τῷ Χριστῷ..... Ἐπὶ Κωνσταντίου δὲ..... δράκων μέγας τῷ θησαυρῷ τῶν ⟨βασιλικῶν⟩ χρημάτων ἐπεισῆλθε..... καὶ ἦν ἐν ἀπορίᾳ ὁ βασιλεύς. Ἀκούσας δὲ περὶ τοῦ ἁγίου διαπρεσβεύεται πρὸς αὐτόν· καὶ ἐλθὼν ὁ ἅγιος καὶ πρὸς τὸ ταμεῖον πλησιάσας μόνος, ἀνοίγει ῥάβδῳ τὴν θύραν ἄνωθεν ἐχούσῃ σταυρὸν καὶ ταύτῃ τυπτήσας τὸν δράκοντα, ἐξήγαγε σύρων αὐτὸν ὥσπερ κῆτος τῇ ῥάβδῳ περιειλούμενον..... Ὁ δὲ βασιλεὺς τὴν τοῦ ἁγίου εἰκόνα τῇ εἰσόδῳ..... ἀνεστήλωσεν. Οὗτος φθονούμενος παρὰ τῶν ἀθέων..... ὑπ' αὐτῶν ἀναιρεῖται.....

Paris. gr. 1570 = Pf, ff. 83-87v
Paris. gr. 1563 = Pb, ff. 130-133v
Vat. gr. 1508 = Vf, ff. 270-273
Paris. gr. 1574 = Pu, ff. 81v-84
Crypt. Δ.α. XIX = Cu, ff. 56-57v
Crypt. Δ.α. LXIII = Dg, ff. 95v-99v

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Τὸν κλεινὸν Ὑπάτιον ᾄσμασιν στέφω. Ὁ Ἰωσήφ.

Ἦχος δ'.

ᾠδὴ α'. *Τριστάτας κραταιούς*

Τὸν θεῖον ἀθλητήν,
τὸν σοφὸν ἱεράρχην,
τῶν θαυμάτων τὴν πηγήν,
τὸν ποιμένα τὸν καλόν,
ἐκκλησίας τὸ στήριγμα,
ᾄσμασι μεγαλοφώνως
ὡς φωστῆρα παγκόσμιον
εὐφημήσωμεν πάντες Ὑπάτιον.

---

heirm. α' EE 95, n. 135. Joannis   4 τῶν καλῶν Vf   8 Ὑπάτιον] γηθόμενοι Pb

Ὁ θεῖος ποταμός
ἐπικλύσας, παμμάκαρ,
καθαρᾷ σου τῇ ψυχῇ,
ἐπήγασεν ἡμῖν
καθαρώτατα νάματα,
f. 83v || πάνσοφε, πολλῶν θαυμάτων,
ἀναβλύσεις ξηραίνοντα
θολερῶν παθημάτων, Ὑπάτιε.

Νεκρώσας τῆς σαρκός
ἡδονὰς ἐγκρατείᾳ,
τὴν ζωὴν τὴν ἀληθῆ,
Χριστόν, τὸν δι' ἡμᾶς
νεκρωθέντα, Ὑπάτιε,
ἔσχες ἔνδον ἐν ψυχῇ σου
ἐνοικοῦντα καὶ πάσας σου
πρὸς αὐτὸν τὰς πορείας ἰθύνοντα.

Καρδίαν καὶ ψυχήν
τῆς Τριάδος εἰργάσω
ἀκηλίδωτον ναόν,
ναούς τε ἱερούς
τοῦ κυρίου πρὸς αἴνεσιν,
ὅσιε ἱερομάρτυς,
ἐδομήσω, καὶ γέγονας
κυβερνήτης τῆς ποίμνης σου ἄριστος.

θεοτ. * Ἡ πόλις τοῦ Θεοῦ,
τὸ τοῦ παμβασιλέως
θεοδόχον, εὐαγές
κειμήλιον, σεμνή
θεοτόκε πανάμωμε,

25-32 trop. om. Vf Cu   31-32 ἐδομήσω σωτήριος / γ[illegible]ώς κυβερνήτης τῇ ποίμνῃ σου Pb Pu   33-40 θεοτ. MR I, 139; in Pb Vf Pu [illegible] θεοτ. invenimus Σωτῆρα καὶ θεὸν / ἐξ ἁγνῶν σου αἱμάτων / ἐσωμάτωσας, ἁγνή, [illegible]ν δείξαντα ἡμῖν / τὸν σοφὸν ἱεράρχην αὐτοῦ[1], / ἄχραντε, σωτηριώδη[2] / καὶ θερ[illegible] ἀντιλήπτορα / τὸν θαυμάσιον ὄντως ὑπάτιον[4] = MR II, 6 ([1] τὸν σοφὸν ἱεράρ[illegible] αὐτοῦ] Ἰατροὺς τῶν παθῶν ἡμῶν MR, [2] σωτηριώδεις MR [3] καὶ θερμ[illegible] ἀντιλήπτορας MR [4] τὸν θαυμάσιον ὄντως ὑπάτιον] τοὺς σεπτοὺς Ἀναργύρους [illegible] πνεύματι MR) Cu θεοτ. praebet Ἐκύησας Χριστὸν MR IV, 408

φρούρησον τὴν κληρουχίαν
τὴν ἀεὶ εὐφημοῦσάν σε
καὶ γεραίρουσαν πίστει τὸν τόκον σου.

ᾠδὴ β'. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὁ Λόγος
ὁ ἐν τοῖς σπλάγχνοις τῆς μητρὸς

Λύρα τοῦ πνεύματος
ἀναφωνοῦσα μυστικῶς
ζωοποιὰ δόγματα ἡμῖν
ἡ θεορρήμων σου γλῶσσα,
Ὑπάτιε, ἐδείχθη,
μέθην ὠθοῦσα παθῶν ψυχοφθόρων
καὶ εὐφραίνουσα καρδίας τῶν πιστῶν.

Ἔχων ἡδύλαλον
f. 84 ‖ στόμα καὶ σώφρονα ψυχὴν
τὰ πορνικὰ ᾄσματα αἰσχρῶς
ἀναφωνούσας ἀλάλους,
Ὑπάτιε, εἰργάσω
μὴ ἐπακοῦσαι ῥημάτων θελούσας
ζωηρρύτων κακοτρόπῳ λογισμῷ.

Ἰχνηλατούμενος
τὸν πρωτομάρτυρα Χριστοῦ
μαρτυρικῶς θνήσκων καὶ δεινῶς
λιθολευστούμενος, μάκαρ,
« μὴ στήσῃς », ἀνεβόας,
« τὴν ἁμαρτίαν, οἰκτῖρμον, τοῖς μάτην
τὸν σὸν δοῦλον ἀναιροῦσι φονευταῖς ».

Νόσους ἀπήλασας
ἄνοσον ἔχων λογισμὸν
ὡς ἀληθῶς, μάρτυς καὶ ποιμήν,
καὶ ἀνεπίδεκτον πάσης,

Ode β' in Pb Vf Pu Cu deest
heirm. β' EE 104, n. 147, Andreae

Ὑπάτιε, κακίας
καὶ ἀσφαλάκων τὴν λοίμην ἐπέχεις,
θαυμαζόμενος εἰς δόξαν τοῦ Χριστοῦ.

θεοτ. Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι Θεὸς
ὁ ἐκ πατρὸς λάμψας υἱὸς
καὶ ἐκ μητρὸς ἐπ' ἐσχάτων
τεχθεὶς ἀνερμηνεύτως,
οὐκ ἀλλοιώσας συγχύσει τὴν φύσιν
τῇ προσλήψει τῆς σαρκὸς τῆς ἐξ ὑμῶν.

ᾠδὴ γ'. *Οὐκ ἐν σοφίᾳ / καὶ δυνάμει*

Ὅλῃ καρδίᾳ
τῇ πηγῇ τῶν καλῶν προσεχώρησας
ταῖς ἐκεῖθεν τηλαυγῶς
πλουσιωτάταις λαμπόμενος,
πάτερ ἱερώτατε,
θείαις λαμπρότησι.

f. 84v ‖ Νόμοις ἐνθέοις
πεφραγμένος, ἀνόμων συνέδρια
σθένει, πάτερ, θεϊκῷ
ἐξαφανίσας, αἱρέσεων
ἔσωσας τὴν ποίμνην σου,
πάτερ Ὑπάτιε.

Ὑπὸ τῆς ἄνω
φαιδροτάτης λαμπάδος τοῦ πνεύματος
φωτιζόμενος, σοφέ,
νυκτιποροῦντι λαμπάδες σοι
ὤφθησαν ἐξ ὕδατος
περιαυγάζουσαι.

heirm. γ' EE 96, n. 136, Joannis 77 τὴν πηγὴν Vf 83 περιφραγμένος Vf, συνέδριον Pb 85 αἱρέσεως Cu 86 σου om. Pb Pu 87 πάτερ] πλάνης Cu 90 φωτιζόμενον Pb Pu Cu 91 νυκτιποροῦντα Pb Cu νυκτοποροῦντα Vf, σοι] σε Pb Cu

Πατέρων θείων
τὸν χορὸν συμπληρῶν τὸν μακάριον,
ὃν συνήθροισε Χριστὸς
συνόδῳ πρώτῃ, μακάριε,
ὤφθης τὸν παράφρονα
συμπνίγων Ἄρειον.

θεοτ. * Ἀπειρογάμως
ἡ Θεὸν σαρκωθέντα κυήσασα,
τῶν παθῶν ταῖς προσβολαῖς
συμπεπτωκότα διέγειρον
ἐμὲ τὸν οἰκέτην σου,
ὅπως δοξάζω σε.

ᾠδὴ δ'. *Ὁ καθήμενος ἐν δόξῃ*

Ἀκαπήλευτον τὸν λόγον
καὶ τὸ δόγμα ἀνόθευτον
συντηρῶν, κηρύττεις
Λόγον τῷ πατρὶ συναΐδιον,
τὴν ἀρειόφρονα πλάνην
τροπωσάμενος,
ἱερομάρτυς,
θαυματουργὲ ἀξιάγαστε.

94-99 trop. om. Vf Cu 100-105 θεοτ. MR IV, 74 103-105 κλονούμενόν με / στερέωσον· / οὐ γὰρ ἔχω, Ἄχραντε, / πλήν σου βοήθειαν MR; Pb Vf Pu diversum θεοτ. tradunt cuius initium sonat Ρῦσαί με πάσης ... MR VI, 65. Cu hoc θεοτ. refert "Σὲ οἱ προφῆται, / παρθενομήτορα προηγόρευσαν / Λόγον ἄναρχον ἐκ σοῦ / σαρκὶ φανέντα θελήματι / κόσμον ἀναπλάσαντα / δι' εὐσπλαγχνίαν πολλήν." In Pb Pu post odem γ' legimus: κάθισμα· ἦχος α'. *Τοῦ λίθου σφραγισθέντος* Ἐξέλαμψας ἐν κόσμῳ, / ἱεράρχα Ὑπάτιε, / τοῖς θαύμασι φωτίζων / τοὺς πιστῶς προσιόντας σοι· / ἀθλήσας δὲ δι' αἵματος, σοφέ, / πλειόνως ᾠκειώθης τῷ Χριστῷ / καὶ χορεύεις σὺν ἀγγέλοις / ἐν οὐρανοῖς ὑπὲρ ἡμῶν δεόμενος· / δόξα τῷ ἐνισχύσαντι Θεῷ, / δόξα τῷ στεφανώσαντι, / δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα. Δόξα καὶ νῦν, θεοτ. Τὰς χεῖράς σου τὰς θείας ... MR IV, 20, σταυροθεοτ. Σταυρῷ σου προσπαγέντος ... MR l.c.; Vf vero tradit: κάθισμα· ἦχος δ'. *Ταχὺ προκατάλαβε* Τὸ δόγμα τῆς πίστεως κρατύνων, ὅσιε, / πατρὶ ὁμοούσιον καὶ συναΐδιον / τὸν Λόγον ἐκήρυξας· / ὅθεν καὶ ὀρθοδόξως / τὴν σὴν ποίμνην ποιμάνας / ᾔσχυνας τοῦ Ἀρείου τὴν κακόδοξον γνῶσιν· / διὸ νῦν μεταστὰς πρὸς Χριστόν, / πρέσβευε ὑπὲρ ἡμῶν.

heirm. δ' EE 95 n. 135, Joannis

Τὰ πικρότατα ὀρέων
ἐπεισρέοντα ὕδατα
τῇ σφραγῖδι μόνῃ
f. 85 ‖ ἰαματοφόρα ἀπέδειξας,
ὕδωρ τὸ ζῶν εὐπορήσας
ἐν καρδίᾳ σου
εἰς αἰώνιον,
πάτερ, ζωὴν τὸ ἀλλόμενον.

Ἱεράτευσας ὁσίως
καὶ νομίμως ἐνήθλησας,
τὴν ἱερωσύνην
δείξας λαμπροτέραν τοῖς αἵμασι,
τοῖς δι' ἀγάπην χυθεῖσι
τοῦ κενώσαντος
αἷμα τίμιον
ὑπὲρ βροτῶν ἀναπλάσεως.

Οὐκ ἀργήσασα ἡ χάρις
ἐπὶ σοὶ τὰ θαυμάσια
κατεργαζομένη
δαίμοσι πικροῖς παραδίδωσι
σὲ τοὺς πικρῶς καὶ ἀθέως
θανατώσαντας,
παμμακάριστε,
μάρτυς Χριστοῦ ἱερώτατε.

θεοτ. * Ἡ ἁγία θεοτόκος,
ἣν οἰκῆσαι εὐδόκησεν
ὡς εὐώδη οἶκον
Λόγος τοῦ πατρὸς καὶ ἰσόθεος,

115 ἀπορρέοντα Pb Cu, ἀπορρέων τὰ ὕδατα Vf ἐπιρρέοντ[illegible] 118 εὐπορήσας] κεκτημένος Pb 126 τοῖς] ὡς Pb 130-137 trop[illegible]m. Pf Vf Cu 138-145 θεοτ. MR IV, 64. Cu hoc θεοτ. obfert: Ἄνευ τέτοκα[illegible]ίνων / τὸν θεὸν τὸν ἀσώματον / τῶν ὠδίνων, κόρη, / Εὔαν τὴν προμήτορα λύοντα [illegible]ὶ τῶν ὠδίνων τοῦ ᾅδου / ἐκλυτρούμενον / τοὺς ἐπώδυνον σχόντας ζωὴν / ἁμαρτάνον[illegible] 141 καὶ ἰσόθεος] ὁμοούσιος MR

118-121 Ioh. 4, 10-15 123 II Tim. 2,5

οὐ διεφθάρη ἁγνείαν,
οὐκ ὠδίνησε·
καὶ γὰρ τέτοκεν
Ἐμμανουὴλ τὸν θεάνθρωπον.

ᾠδὴ ε΄. *Ἐξέστη τὰ σύμπαντα*

Νοὸς ὑπερβαίνει σου
ἡ χάρις τὴν κατάληψιν,
γλῶσσα ἐξειπεῖν οὐκ ἐξισχύει
σοῦ τῶν θαυμάτων
ἄπειρον πέλαγος,
μάρτυς ἱεράρχα καὶ ποιμήν,
Γαγγρῶν ἐγκαλλώπισμα
καὶ φωστὴρ πάσης κτίσεως.

Ἀνεῖλες τὸν δράκοντα
πυρὶ παραπεμψάμενος,
ἔδειξας ἐν σοὶ τὴν θείαν χάριν
πλουσιωτάτως
κατασκηνώσασαν
καὶ σὲ βασιλέως καὶ παντὸς
ἔναντι δοξάσασαν
τοῦ λαοῦ, ἱερώτατε.

Σφραγῖδα καὶ φύλακα
ταμείου ἀνεστήλωσε,
πάτερ, βασιλεὺς τὴν σὴν εἰκόνα,
85v || ταύτῃ τιμῶν σε
καὶ ἐμφανῶς προδηλῶν
ὡς τῆς ἐμφερείας ἡ τιμὴ
ἐπὶ τὸ πρωτότυπον
διαβαίνει, Ὑπάτιε.

142 οὐ κατεφλέχθη τὴν μήτραν MR; Pb Vf Pu praebent θεοτ. Χαρισμάτων σου τὰ ῥεῖθρα ... PaR, 340
heirm. ε΄ EE 100, n. 141, Joannis 158 κατασκηνώσασα Cu 163 ταμείου] τοῦ βίου Pu, ἀνεστήλωσε] ἀνετύπωσε Pb Cu 165 ταύτην Vf

Μεγάλως ἠγώνισαι,
μεγάλως καὶ δεδόξασαι
θαύματα τελῶν ἱεροτρόπως,
νόσους διώκων,
μαστίζων δαίμονας,
εἴργων τὰς αὐτῶν ἐπιβουλάς,
τρέπων τῶν αἱρέσεων
τὴν λοιμώδη κακόνοιαν.

θεοτ. * Ἰδοὺ νῦν πεπλήρωται
ἡ τοῦ προφήτου πρόρρησις·
σὺ γάρ, ἀπειρόγαμε παρθένε,
ἔσχες ἐν μήτρᾳ
τὸν ἐπὶ πάντων Θεόν,
καὶ τέτοκας ἄχρονον υἱὸν
πᾶσι τοῖς ὑμνοῦσί σε
τὴν εἰρήνην βραβεύοντα.

ᾠδὴ ϛ΄. *Θύσω σοι*

Ἀνῆλθες
τῶν ἀρετῶν εἰς ὕψος, Ὑπάτιε,
καὶ προσεπέλασας, μάκαρ,
τῇ καθαρωτάτῃ πηγῇ τῶν θείων
χαρισμάτων
καὶ θαυμάτων πελάγη ἀνέβλυσας.

Στέφη σοι
αἱ τῶν λίθων νιφάδες γεγόνασι
καὶ πρὸς οὐράνιον ὕψος

170-177 trop. om. Cu 174 μαστίζων] ἐλαύνων Pb Vf Pu 178-185 θεοτ. PaR, 283; in Pb Vf Pu θεοτ. traditur Σοφίαν ἐκύησα[illegible] θεοῦ ἐνυπόστατον, / ἄχραντε παρθένε θεοτόκε, / τὴν τοὺς ἁγίους / πανσόφους δ[illegible]σαν·[1] / διὸ[2] τῆς κακίας σοφιστοῦ / πέπτωκε τὸ φρύαγμα / καὶ δεινὰ πανουργήματα MR II, 9 ([1] ἀναδείξασαν MR, [2] διὸ τῆς] δι' ὧν τοῦ MR); in Cu Κυρίως ὑπ[illegible]ουσα / καὶ ἀληθῶς, πανάμωμε, / μόνη θεοτόκος κυριεύειν / καταδουλούντων / [illegible]ῶν με σθένωσον, / ὅπως ἐλευθέρῳ λογισμῷ / χαίρων μακαρίζω σε / τῶν πιστῶν τὸ [illegible]ωσμα.
heirm. ϛ΄ EE 94, n. 133, Joannis 192 Στέφος σοι Pb Cu

καὶ βαθμίδες, μάκαρ, καὶ κλίμακες,
αἷς ἐπέβης
καὶ Θεῷ ᾠκειώθης τρανότερον.

Ἴαμα
σοῦ ἡ σορὸς πηγάζει ἀέναον,
τῆς εὐλογίας δέ, πάτερ,
86 || τῆς λεπτῆς σου χοῦς λαμβανόμενος,
ἀσφαλάκων
ὡσεὶ χνοῦν ἐκλεπτύνει τὴν κάκωσιν.

Νομίμως
ἐναθλήσας, ὡς μάρτυς τετίμησαι,
ἐν βαθυτάτῳ δὲ γήρᾳ
πρὸς τοὺς σοὺς μετέβης χαίρων πατέρας
καὶ τὸ στέφος
σοῦ τῶν πόνων κομίζῃ ἐπάξιον.

θεοτ. * Ὢ θαῦμα
τῶν ἁπάντων θαυμάτων καινότερον,
ὅτι παρθένος ἐν μήτρᾳ
τὸν τὰ σύμπαντα περιέποντα
ἀπειράνδρως
συλλαβοῦσα, οὐκ ἐστενοχώρησεν.

ᾠδὴ ζʹ. *Ὁ διασώσας ἐν πυρὶ*

Στόμα οὐδόλως κατὰ σοῦ
ἤνοιξεν ἐφέρπων ὁ δράκων,
δουλοπρεπῶς δὲ τῇ πυρᾷ
προσεχώρει ὑπείκων, ἀοίδιμε,

195-196 καὶ βαθμίδα, μάκαρ, / καὶ κλίμακα Vf 195 μάκαρ] πάτερ Pb 196 αἷς] ὧν Pb οἷς Cu 197 τρανώτατα Pb 201 λεπτῆς] σεπτῆς Pb Vf Pu 203 χνοῦν] χοῦν Pb Vf Pu 204-209 trop. om. Vf Cu 210-215 θεοτ. MR IV, 76; Cu hoc θεοτ. refert Ῥῦσαί με / τῶν σκανδάλων τοῦ βίου, πανάμωμε, / τὸν ἐν νυκτὶ ἀβλεψίας / λογισμῶν ἀτόπων κεκρατημένον / καὶ κακίᾳ / τοῦ δυσμενοῦς ἀεὶ σκοτιζόμενον.

heirm. ζʹ EE 101, n. 142, Cosmae 219 προσεχώρεις Pu, ὑπήκων Pf

τῇ φρικώδει κελεύσει σου,
« ὁ Θεός », ἀναβοῶντος,
« εὐλογητὸς εἶ ».

Τοῖς ἐξ αἱμάτων ὀχετοῖς
τοὺς ἐκ τῶν δακρύων συνάψας,
ἓν ἐξ ἀμφοῖν πόμα, σοφέ,
ἀπετέλεσας, σοὶ μνηστευόμενον,
τῆς τρυφῆς, ἀξιάγαστε,
τὸν χειμάρρουν εἰς αἰῶνας,
μαρτύρων κλέος.

Ἐν τῷ λειμῶνι τῶν σεπτῶν
πόνων εἰσιόντες σου, μάκαρ,
ἀρωματίζομεν ψυχάς,
εὐωδίαν Χριστοῦ σε γινώσκοντες
καὶ βοῶμεν, Ὑπάτιε·
« ὁ Θεὸς ὁ τῶν πατέρων,
εὐλογητὸς εἶ ».

f. 86v θεοτ. * || Νοῦ τοῦ μεγάλου ἀληθῶς
Λόγον τὸν ἀΐδιον, κόρη,
ἐν σοὶ ἀρρήτως καὶ φρικτῶς
κατοικήσαντα βλέπων ἐβόησε
Γαβριὴλ ὁ ἀρχάγγελος·
« χαῖρε, θρόνε τοῦ ὑψίστου,
εὐλογημένη ».

ᾠδὴ ηʹ. *Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ*

Φωνή σου φωτὶ συγκεκραμένη
καὶ θείαις πυρσευομένη ταῖς λαμπρότησι,

221 ὁ θεὸς ὁ τῶν πατέρων Cu 224 τούς] τὰς Pb Vf συνῆψας Cu 226 σὺ Vf Cu 232 ψυχὴν Pb Cu 237-243 θεοτ. MR I, 72, in Pb Vf Pu hoc. θεοτ. invenimus Ἡ ἀπειρόγαμος ἁγνή, ἡ ἄνευ σπορᾶς συλλαβοῦσα / τὸν τοῦ πατρὸς μονογενῆ / καὶ τεκοῦσα σαρκί, θεονύμφευτε, / ἐξ ἁγίων αἱμάτων σου / δυσωποῦσα μὴ παύσῃ / σωθῆναι πάντας; in Cu Λελυτρωμένοι διὰ σοῦ MR II, 21

heirm. ηʹ EE 100 n. 141, Joannis

233 II Cor. 2,15

σκότος τῶν αἱρέσεων,
πάνσοφε, διέλυσε
καὶ πρὸς ἡμέραν ἴθυνεν
ὀρθοδοξίας λαούς,
« τὸν κύριον ὑμνεῖτε », βοῶντας,
« καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Ὡραῖος ὡς κάλαμος φανεῖσα
ἡ γλῶσσά σου, πάνσοφε, διέγραψε
νόμον τὸν ἐν χάριτι,
πάντων ἐν τοῖς πίναξι
τοὺς παλαιοὺς λεάνασα
τύπους, Ὑπάτιε·
διό σε ὡς σοφὸν γραμματέα
ἀνυμνολογοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

Ὁ στῦλος ὁ πύρινος, ὁ θεῖος
καὶ ὕψος πρὸς ἐπουράνιον αἰρόμενος
πύργος ὁ ἀκλόνητος,
τεῖχος τὸ ἀπόρθητον,
τῆς ἐκκλησίας ἔρεισμα,
ἱεραρχῶν ἡ κρηπίς,
μαρτύρων ἡ τερπνὴ ὡραιότης,
ὁ θαυματοφόρος
Ὑπάτιος τιμάσθω.

Ἰδεῖν ἠξιώθης, ὃν ἐπόθεις,
λυθείσης τῇ ἀληθείᾳ τῆς ἐμφάσεως·
ἔτι γὰρ ἀτμίζοντι
αἵματι σταζόμενος
f. 87 ‖ πρὸς ὀρεκτῶν τὸ ἔσχατον,
μάρτυς, ἀνέδραμες

250 βοῶντας] τὰ ἔργα Cu 262-270 trop. desideratur in Cu 272 λυθέντων τῇ ἀληθείᾳ τῶν ἐμφάσεων Pb Vf Pu Cu 273 ἀτμίζοντι] ἀτιμάζοντι Vf 278 θείαις συγχορεύων Pb συναγελάζει Cu

253 Apoc. 21,15

μαρτύρων καὶ ὁσίων χορείαις
νῦν συναγελάζων
εἰς πάντας τοὺς αἰῶνας.

θεοτ. * Ῥήσει τῶν προφητῶν ἀκολουθοῦντες,
παρθένον σε θεοτόκον καταγγέλλομεν·
τέτοκας παιδίον γὰρ
πάντων ἀρχαιότατον,
Ἐμμανουὴλ καλούμενον,
ᾧ νῦν κραυγάζομεν·
« τὸν κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

ᾠδὴ θ'. *Εὔα μὲν τῷ τῆς παρακοῆς*

Ὡς ῥόδον, ὡς κρίνον τοῦ ἀγροῦ
ἡδύπνοον, ἱεράρχα, ὡς κυπάρισσος,
μύρον ὡς θεῖον καὶ εὐῶδες
ἡ λάρναξ σου μυρίζει τὰ θαύματα,
δυσώδεις ἀρρωστίας διώκουσα,
ἱερομάρτυς πανσεβάσμιε.

Συνόμιλος ὤφθης προφητῶν,
μαρτύρων τε, ἱερέων τῶν ἐν αἵματι
ἤδη καλῶς τελειωθέντων,
ἀγγέλων καὶ ὁσίων ἰσόρροπος
καὶ πάντων τῶν δικαίων συμμέτοχος
τῶν ἀπ' αἰῶνος, ἀξιάγαστε.

Ἡ μνήμη σου σήμερον ἡμῖν
ἀνέτειλε τοῦ ἡλίου τηλαυγέστερον,

280-288 θεοτ. MR II, 221 280 Ῥύσεσι MR; Pb Vf Pu [illegible]. tradunt cuius initium sonat Πολλοῖς συνεχόμενον κινδύνοις . . . MR VI,[illegible]; Cu hoc autem θεοτ. tradit Ὢ βάθος ἀπορρήτου μυστηρίου· / ὁ πλάσας χ[illegible] πάλαι τὸν ἄνθρωπον / πλάττεται σαρκούμενος / μήτραν ἀειπάρθενον / καθυποδ[illegible] καὶ σῴζει με/ φόβῳ κραυγάζοντα· τὸν κύριον ὑμνεῖτε, τὰ ἔργα . . .
heirm. θ' EE 98, n. 139, Joannis monaci et Stephani monaci 290 ἡδύπνοος Cu 293 δυσώδη ἀρρωστίαν Pb 298 ἀγγέλων] ἁγίων Pb

φέγγει ἀΰλῳ τὰς καρδίας
ἡμῶν φωταγωγοῦσα τῶν πίστει σε
87ᵛ || ἐν ταύτῃ μακαριζόντων, Ὑπάτιε,
καὶ ἐτησίως εὐφημούντων σε.

Φωτί σου καταύγασον ἡμῶν,
Ὑπάτιε, διανοίας τῶν τελούντων σου
μνήμην τὴν θείαν καὶ φωσφόρον
καὶ λύτρωσαι πυρὸς καὶ κολάσεως
καὶ πάσης ἐπηρείας πρεσβείαις σου
τοὺς εὐσεβῶς σε μακαρίζοντας.

εοτ. * Φωτί με καταύγασον τῷ σῷ,
πανάμωμε, ἡ τεκοῦσα φῶς ἀπρόσιτον,
λῦσον τὸ νέφος τῆς ψυχῆς μου
καὶ σκότους ἀφεγγοῦς με ἐξάρπασον
καὶ θείας σωτηρίας ἀξίωσον,
ἄχραντε μόνη ἀειπάρθενε.

---

304 φωταυγοῦσα Cu 307-312 trop om. Cu 313-318 θεοτ. MR II, 47 316 καὶ σκότους με ἐξάρπασον, δέομαι, MR 318 ἵνα ὑμνῶ σε τὴν πανύμνητον MR; in Pb Vf Pu θεοτ. legimus Ὕψωσον τὴν χάριν σου, ἁγνή, . . . OCP 22 (1956) 382; in Cu Φορέσας ἐκ σοῦ ὁ βασιλεύς. . . MR IV, 411

COMMENTARIO

S. EUDOCIA

Il contesto del canone comprende particolari che ci sono riferiti dalla riassunta vita del Sinassario (¹) nel menologio del Latyšev (²) nella Passio, ma si richiama anche a passaggi riportati negli Acta Sanctorum (³).

I punti biografici di maggior rilievo emersi dal canone sono i seguenti: il monaco Germano insegna alla martire la vera fede (vv. 15-21); la santa riceve il battesimo e acquista il potere di far risuscitare i morti (vv. 58-68) (⁴); il figlio di Aureliano, già morto, viene ricondotto alla vita (vv. 137-142) e il miracolo conduce al cristianesimo Aureliano stesso (vv. 137-179) (⁵). La martire si dimostra serena e inflessibile innanzi ai giudici e rimane impavida innanzi alla sentenza della sua decapitazione (vv. 143-148) (⁶). Il resto è indefinito richiamo alle virtù e alla gloria della martire.

Il canone, adespota e senza acrostico, riporta anche l'ode β' e consta di 39 tropari compresi i theotokia. Le odi sono modulate su heirmoi di Cosma (odi α', ε', γ', ζ') (⁷) e di Giovanni (odi β', ϛ', ϑ' η') (⁸), l'heirmos dell'ode δ' è edito in MR III,15).

Il testo del canone è stato costituito sulla fede dei sette manoscritti, tutti di cospicua antichità: Crypt. Δ.α. XVII = Ck, ff. 5ᵛ-8

(¹) *Synax. CP.*, 498.

(²) B. LATYŠEV, *Menologii anonymi Byzantini saec. X quae supersunt*. I, Petropoli (1911) 158-165.

(³) *AA.SS. Mart.* I (1668) 875-885; *B.H.G.*³ 604-605. Al passo degli *AA.SS.*, p. 878, che ricorda l'opera redentrice di Germano si collegano i vv. 15-21 del canone.

(⁴) Cfr. *AA.SS.* id., p. 884 ...ἀπῆλθεν ἔνθα ἦσαν κείμενοι οἱ νεκροί, καὶ ἁψαμένη ἑνὸς ἑκάστου τῆς χειρός, εἶπεν· «Ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ἀναστάντες ἔσεστε... ».

(⁵) *AA.SS.*, vol. cit., p. 882.

(⁶) *AA.SS.*, vol. cit., p. 883; 885.

(⁷) *EE* 37, n. 51; 39, n. 53.

(⁸) *EE* 41, n. 55; 34, n. 46; 35, n. 47.

(uno dei più fedeli delle antiche tradizioni); Δ.α. VII = Db, ff. 2-5v; Vat. gr. 2008 = Vm, ff. 83-84; Coislin. gr. 309 = H, ff. 1-5; Paris. gr. 1563 = Pb, ff. 1v-4v; Mess. gr. 139 = Ma, ff. 188-190; Reg. gr. 58 = Ln, ff. 42-43. Questi manoscritti sono stati preferiti perchè mentre alcuni di essi ci fanno fede della stesura originale del canone (Ck - Db) altri (Vm, H, Pb, Ma, Ln: tutti omettono completamente la seconda ode) si rivelano iniziatori di quelle mutilazioni, discrepanze e varianti disseminate nei Minei successivi.

Lo stesso canone si può riscontrare anche in altri codici contemporanei o posteriori che citiamo con le sigle assegnate nel repertorio delle fonti degli Analecta:

Barber. gr.	460	=	Bd,	ff. 65-67,	s. XII
Mess. gr.	163	=	Mg,	ff. 2-5v,	s. XII
Paris. gr.	1573	=	Pt,	ff. 1v-5v,	s. XV
Paris. gr.	1574	=	Pu,	ff. 1v-3v	(anno 1404)
Vat. gr.	1508	=	Vf,	ff. 187,	s. XIV-XV

Questi manoscritti, dopo la collazione e il dovuto esame, sono stati esclusi perchè nell'economia della costituzione del testo e della storia dei rapporti fra i codici prescelti il loro apporto era irrilevante. Il Vat. gr. 1508 = Vf conserva soltanto le odi ζ', η', ϑ'.

Altri codici, che, però, non abbiamo potuto consultare, tramandano lo stesso canone. Essi sono: Athon. Laur. Δ 25, I 140, Θ 51 (1); Athon. Ivir. 829 (2); Ieros. Sab. 241 (3).

Per santa Eudocia abbiamo ancora un altro canone inedito senza acrostico che dall'Athon. Laur. 17 è attribuito a Teofane (ἦχ. δ', inc. Φαιδρῶς ἐξανέτειλεν), da alcuni codici assegnato al 1º marzo e da altri, fra i quali emerge il Crypt. Δ.α. XII, sec. XI, al quattro agosto, festività della traslazione delle reliquie della martire (4).

Poiché gli Analecta mirano, fra l'altro, a porre in evidenza le tradizioni dei culti nel Meridione, il canone stesso sarà inserito fra gli inni del mese di agosto.

(1) Eustratiadis, *Ταμεῖον* «'Εκκλ. Φάρος» 47 (1948), p. 155.
(2) Lampros, II 229.
(3) Papadopoulos – Kerameus, II 370.
(4) Agioritis, II (1868) 299; Doukakis, XII 54.

2 MARZO

S. QUINTO

Per la prima volta, per quanto ci risulta, si pubblica un canone per s. Quinto. Questo è stato composto da Giuseppe Innografo come è attestato dall'acrostico: «Κλέος μέγιστον εὗρες ἀθλήσας, μάκαρ. 'Ιωσήφ».

Il canone ci offre elementi riguardanti la vita e il martirio di san Quinto (1), mentre su di essi il sinassario costantinopolitano (2) non ci dice nulla. Notizie nuove sono contenute, ad esempio, nei vv. 6-11, 55-59, ove si parla del processo del martire, e nei vv. 60-64, che si richiamano a una visione avuta dal santo durante il martirio; i vv. 99, 116, 148-149, 178-179 ci informano di vari miracoli compiuti dal martire dopo la morte.

Il canone è stato curato su due manoscritti: il Mess. gr. 163 = Mg e il Paris. gr. 1575 = Pv, ambedue del sec. XI-XII. Esso è inoltre tramandato dai Laurioti Δ 25, f. 4 (s. XII), Δ 34, f. 2 (s. XIII), Δ 45 (s. XI) (3).

Per la struttura abbiamo preferito la tradizione del Mg e per la cura del testo molte volte ci siamo avvalsi della più corretta tradizione del Paris. gr. 1575 = Pv (vv. 4, 19, 54, 57, 177, 186).

La discrepanza più notevole si nota nel heirmos ζ', ove il Pv ci dà un heirmos diverso «'Ο διασώσας ἐν πυρὶ» (4), che è di metro differente da quello delle strofe della medesima ode secondo la tradizione del Mg. La melodia delle odi si basa su heirmoi di Germano (odi α', η') (5), di Cosma (odi γ', ϑ', ζ') (6) e di Giovanni (odi δ', ε') (7).

(1) Una *passio* è nel Latyšev, II 141-143; e di una seconda ci parla l'Eustratiadis, *Συμπλήρωμα ἁγιορειτικῶν καταλόγων Βατοπεδίου καὶ Λαύρας*, Paris (1930) 45 — v. *B.H.G.*3 2377.2378.
(2) *Synax. CP.*, 499.
(3) Eustratiadis, *Ταμεῖον*, «'Εκκλ. Φάρος» 47 (1948), p. 156.
(4) *EE* 101, n. 142.
(5) *EE* 103, n. 146; 95, n. 134
(6) *EE* 102, n. 144; *CP.*, 178.
(7) *EE* 97, n. 138; 94, n. 133.

2 MARZO

S. ATENODORO

Il Coislin. gr. 309 = H, ff. 5-7, contiene il canone di Teofane per s. Atenodoro, vescovo nonché compagno di lotta di s. Atanasio (1).

Il codice (2), del sec. XIV, è forse italogreco, come ci farebbero desumere alcune caratteristiche (scrittura tonda nonché qualità di pergamena erta e dura). Purtroppo mancano indicazioni particolari sul luogo di origine.

Dissimilmente dalle altre commemorazioni, questo canone non è accompagnato dal sinassario perchè esso manca affatto.

Le uniche testimonianze per s. Atenodoro le troviamo nelle opere di s. Atanasio. Esse parlano poco di lui, però quelle semplici notizie, nelle quali il nostro personaggio è presentato assieme ad altri vescovi, collegate con le informazioni del canone, offrono elementi per delineare, sia pure in maniera assolutamente schematica, la personalità storica del nostro eroe (3).

---

(1) Nel f. 5 si legge « Μηνὶ τῷ αὐτῷ τοῦ ἁγίου πατρὸς ἡμῶν Ἀθηνοδώρου συναθλητὴν (leggi συναθλητοῦ) τοῦ μεγάλου Ἀθανασίου. Seguono tre sticherà inediti di tono quarto, e poi il canone, opera di Teofane, com'è scritto nel margine destro del medesimo foglio.

(2) R. DEVREESSE, *Catalogue des manuscrits grecs*, II. Le fonds Coislin, Paris, 1945, p. 209. Cfr. ancora *Synax. CP.*, XLII (cod. Me).

(3) S. ATHANASII, *opera*. Pars I. *Apologia de fuga sua P.G.* XXV, 653 Καὶ γὰρ εὐθὺς ἀπὸ τῆς Αἰγύπτου καὶ τῶν Λιβυῶν ἐξώρισαν μὲν ἐπισκόπους Ἀμμώνιον ... Ἀθηνόδωρον ... καὶ οὕτω πικρῶς ἤλασαν αὐτούς, ὡς τινὰς μὲν αὐτῶν ἐν ταῖς ὁδοῖς, τινὰς δὲ ἐν αὐτῷ τῷ ἐξορισμῷ ἀποθανεῖν. Ἐφυγάδευσαν δὲ ἐπισκόπους πλείους τριάκοντα· σπουδὴ γὰρ ἦν αὐτοῖς κατὰ τὸν Ἀχαάβ, εἰ δυνατόν, ἐξᾶραι τὴν ἀλήθειαν. Ἰδοὺ ταῦτα τῶν ἀσεβῶν τὰ τολμήματα. E ancora: *P.G.* XXV, 780 Καὶ ὁ μὲν στρατηλάτης Σεβαστιανὸς ἔγραψε τοῖς κατὰ τόπον πραιποσίτοις καὶ στρατιωτικαῖς ἐξουσίαις· καὶ οἱ μὲν ἀληθῶς ἐπίσκοποι ἐδιώχθησαν, οἱ δὲ τὰ τῆς ἀσεβείας φρονοῦντες, ἀντ' ἐκείνων εἰσήχθησαν. Καὶ ἐξώρισαν μὲν ἐπισκόπους γηράσαντας ἐν τῷ κλήρῳ...

Ἀμμώνιον μὲν καὶ Ἑρμῆν... καὶ ... Ἀθηνόδωρον εἰς τὴν Ἀμμωνιακὴν δι' οὐδὲν ἕτερον, ἢ ἵνα διὰ τῶν ἐρήμων διερχόμενοι τελευτήσωσι. Καὶ γὰρ οὐδὲ νοσοῦντας αὐτοὺς ἠλέησαν, ἀλλὰ καὶ βαρέως διὰ τὴν ἀσθένειαν φέροντες ἤλαυνον, ὥστε φορείοις αὐτοὺς ἀποφέρεσθαι καὶ διὰ τὴν νόσον ἐπακολουθεῖν αὐτοῖς τὰ ἐντάφια ... καὶ τοὺς μὲν ἐς λιθουργίαν παραδεδώκασι, τοὺς δὲ ἐδίωξαν ἀναιρῆσαι θέλοντες ἄλλους τε πολλοὺς διήρπασαν. Si veda anche la nota 19 della *P.G.* XXV, p. CXXXII.

Secondo il canone (che è di otto odi e senza acrostico: metri e melodie sono presi in prestito da una stessa acoluthia del Damasceno) (1), Atenodoro visse in Egitto (Ἀνθεῖ σε ἡ Αἴγυπτος, σοφέ, ... v. 136), fu vescovo dotto e zelante, contemporaneo di s. Atanasio, al quale si unì per difendere la fede ortodossa contro l'eresia di Ario.

La sua dignità pastorale è sottolineata dal canone: Τὸ ποίμνιον ὁδηγῶν v. 29; ἱεράρχης μέγιστος τῆς ἐκκλησίας: κάθ[illegible]α. È posta altresì in rilievo la sua alleanza con s. Atanasio: « Ἀθανασίου συνόμιλος ἀνεδείχθης, / συλλειτουργὸς καὶ σύμμαχος / ὑπὲρ εὐσεβείας ... vv. 47-49, col quale combatte l'eresia di Ario: Ἐφαύλισας ἀνδρικῶς / τὰ τοῦ Ἀρείου δυσσεβῆ δόγματα / καὶ τὴν αὐτοῦ παράνοιαν, πίστει τῆς Τριάδος φραξάμενος vv. 25-28. Dello stesso concetto sono i vv. 53-55, 65-69, 74-79.

L'innografo celebrando Atenodoro gli conferisce vari attributi, che sono tuttavia ricorrenti nell'innografia per i vescovi confessori della fede: lo presenta illuminato dallo Spirito Santo vv. 7-8, lo celebra vescovo che affronta tanti pericoli per la sua fede vv. 49-50, 87-88, 112-113, studioso e dotto della Scrittura e che chiude la sua vita nel deserto vv. 163-166.

---

(1) *EE* 94, n. 133.

3 MARZO

SS. EUTROPIO, CLEONICO E BASILISCO

Per questi martiri presentiamo due canoni. Il primo, tramandato anche dagli Athon. Laur. Δ 25, f. 9 (s. XII) e H 76, f. 14v (s. XIV) (1), è stato curato sulla tradizione del Δ.α. XVII = Ck, f. 10v, e Δ.α. VII = Db, f. 9 (2). Esso segue il modo terzo e i vari metri appartengono a due acoluthie di Germano stesso (3), e a una di Andrea (ode γ') (4).

San Basilisco era nipote di Teodoro Tirono, mentre Eutropio era fratello di Cleonico, e tutti e tre erano commilitoni di san Teodoro. Basilisco non fu giustiziato assieme agli altri perchè il tiranno non volle che essi morissero tutti e tre contemporaneamente, come essi invece desideravano. « Μὰ τοὺς Θεοὺς ἅπαντας, ἐπειδὴ συνθήκας ἐποιήσατε τοῦ μὴ ἐγκαταλεῖψαι ἀλλήλους, οὐ μὴ τῶν τριῶν ὑμῶν ἀπόφασιν δώσω » (5).

La tradizione ci offre altre *passiones* che meriterebbero uno studio comparativo con quella edita dal Latyšev (6).

Le nove odi, senza acrostico, comprendono trentasette tropari (4 per ciascuna ode, ad eccezione della seconda ode che ne ha 5).

Codice di base è il Crypt. Δ.α. XVII = Ck. Il Reg. gr. 58 = Ln presenta il canone al modo πλ. δ' anziché al γ'.

Le discrepanze tra i quattro codici che tramandano il primo canone sono poche, di cui la più notevole si riferisce al nome di Eutropio. Molte volte abbiamo Εὐτρόπιος, ma anche Εὔτροπος, richiesta dalle esigenze metriche: v. 25 Εὔτροπος Ln, v. 43 Εὔτροπε Ck, Db, v. 80 Εὐτρόπῳ Ln, v. 159 Εὔτροπε Ln, v. 200 Εὐτρόπου cdd. Lo stesso comportamento si nota nel secondo canone: v. 115 Εὔτροπε Pb, v. 118

(1) Eustratiadis, *Ταμεῖον*, 47 (1948), p. 157.
(2) Eustratiadis, *o.c. l.c.*
